τεια τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀ|πὸ πάντων τὸν πάντα βίον ποιοῦσαν ὅ κα θέλη, τιμᾶς ἀργυρίου μνᾶς, καὶ τὰν τιμὰν | ἔχει πᾶσαν. βεβαιωτῆρες κατὰ τὸ σύμβολον· Χαιρέδαμος Ἀριστομήδεος Ἀμφισσεὺς | καὶ Εὐάγγελος Πάτρωνος Δελφός. μὴ κυρία δὲ ἔστω Καλλικράτεια ἀπαλλοτριώσου|σα τὰ ὑπάρχοντα εἰ ἀγενὴς μεταλλάξαι τὸμ βίον, μηδὲ τὰ ἐκ ταύτας τέκνα || εἰ ἀγενῆ μεταλλάξαιεν τὸμ βίον. μάρτυροι· ὁ ἱερεὺς Ἀνδρόνικος καὶ ὁ ἄρχων Εὐκλῆς Καλ|λιστράτου, ἰδιῶται Κλέων Δαμοσθένεος, Μενέστρατος, Θεόφιλος Σωσιγένεος, Χαρίξενος Ἀστί|α, Σωσιγένης Εὐθυμίδα Δελφοί.

Z. 4 Stein ΚΑΛΛΚΡ°.

Zeit (Siehe Anhang). Priesterschaft VI (etwa 150—140). Nur ein Priester ist genannt, Ἀνδρόνικος (Z. 10); er gehört den Priesterschaften V—VII an. Da aber 1684 mit 1685 und 1686 auf einem Polygon steht, ist Priesterschaft VI wahrscheinlich.

1685 *W.-F.* 20. C. v. B.

Ἄρχοντος Θρασυκλέος μηνὸς Ἡρακλήου, ἀπέδοτο Ἄθαμβος Ἀθανίωνος τῶι Ἀπόλλωνι τῶι Πυθίωι | σῶμα γυναικεῖον ἇι ὄνομα Ἁρμοδίκα τὸ γένος ἐξ Ἐλατείας, τιμᾶς ἀργυρίου μνᾶν ἕξ, καὶ τὰν τιμὰν | ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Ἁρμοδίκα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος | ἀπὸ πάντων τὸμ πάντα χρόνον ποιέουσα ὅ κα θέλη καὶ ἀποτρέχουσα οἷς κα θέλη. βεβαιωτῆρες κατὰ τὸν || νόμον τᾶς πόλιος· Ἀντιχάρης Ἀζαράτου, Φιλόδαμος Χάρητος. εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισσμῶι Ἁρ|μοδίκας, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ὅ [τ]ε ἀποδόμενος Ἄθαμβος καὶ οἱ βεβαιωτῆρες Ἀντιχά|ρης, Φιλόδαμος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντε[ς] κύριοι ἐόντων συλέοντες Ἁρμοδίκαν ὡς ἐλευθέραν ἐοῦ|σαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας κα[ὶ] ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας, Ἀν|δρόνικος καὶ τῶν ἀρχόντων Δεξώνδας καὶ ἰδιῶται [Θ]εύξενος, Φίλαγρος, Ἄσανδρος, Σωκράτης, Μενεκράτης.

Z. 1 Ἡρακλήου (so!). — *W.-F.* Z. 5 nur °δουλισμῶι. — 6 ὅ τε voll. — 7 παρατυγχάνον[τες]. — 8 καὶ ζαμίας voll. — 9 nach ἰδιῶται Bruch, dann ΕΥΞ°; es braucht nichts zu fehlen: entweder Εὔξενος oder mit *W.-F.* [Θ]εύξενος.

Zeit. Priesterschaft VI (etwa 150—140).

1686 *W.-F.* 21. C. v. B.

Ἄρχοντος Σωξένου μηνὸς Ἐνδυσποιτροπίου, βουλευόντων τὰν δευτέραν ἑξάμηνον Λαιάδα τοῦ Βαβίλου, | Ἀντιγένεος τοῦ Διοδώρου, γραμματεύοντος δὲ Ἡρακλείδα τοῦ Καλλία, ἐπὶ τοῖσδε ἀπέδοτο Πολύα Φιλί|νου, συνευδοκεούσας καὶ τᾶς θυγατρὸς αὐτᾶς Ἡραΐδος καὶ τοῦ υἱοῦ Πολυτιμίδα καὶ Ἐρασίππου τοῦ | τᾶς θυγατέρος υἱοῦ Ἀριστοῦς καὶ Φιλοκράτεος, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνο|μα Κασταλία τὸ γένος Σύραν, τιμᾶς ἀργυρίου μνᾶν τεττάρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, κα|θὼς ἐπίστευσε Κασταλία τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν | πάντα χρόν[ο]ν ποιέουσα ὅ κα θέλη καὶ ἀποτρέχουσα οἷς κα θέλη. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πό|λιος· Ἀστόξενος Διονυσίου. εἰ δέ τις ἐφάπτοιτο Κασταλίας ἐπὶ καταδουλισσμῶι, βέβαιον παρεχόν|των τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀποδόμενοι καὶ ὁ βεβαιωτὴρ Ἀστόξενος· εἰ δὲ μὴ παρέχο[ι]ν βέβαιον τῶι θε‖ῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόν|των συλέοντες Κασταλίαν ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρ|τυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας, Ἀνδρόνικος καὶ οἱ ἄρχοντες Λαιάδας, Ἀντιγένης, Ἡρακλείδας καὶ ἰδι|ῶται Ἐμμενίδας Δεξικράτεος, Ἄθαμβος Ἀβρομάχου, Πεισί(σ)τρατος Βούλωνος, Σώξενος Ἐκεφύλου, Ἀρίστων Δα|μοφάνεος, Ἀτεισίδας Ξένωνος, Πασίων Σωτάδα, Εὐκράτης Ξενοφάντου, Εὐκράτης Χαρία, Τίμανδρος Με‖νάνδρου Λιλαιεῖς, Αὐτοκράτης Ἀγασέα Δαυλιεύς.

W.-F. Z. 4 Ἀ[ρ]ιστοῦς. — 6 τὸ[ν], aber das ν ist noch da; es steht ein klein Stück weiter hin. — 7 χρόνον voll. — 8 nur °δουλισμῶι. — 9 παρέχ[οιν]. — 13 Stein ΠΕΙΣΙΤΡ°, also Σ vergessen und nicht über der Zeile nachgetragen.

Zeit: Priesterschaft VI (etwa 150—140).

1687 *W.-F.* 22. C. v. B.

Ἄρχοντος Ἀνδρονίκου μηνὸς Ἐνδυσποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Χαρίξενος Ἀλέξωνος | Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἀνθράκιον, τιμᾶς ἀργυρί[ου μν]ᾶν | δύο, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Ἀνθράκιον τὰν ὠνὰν τῶι θεῶι, ἐφ᾽ ὧιτε [ἐλευθέ]|ραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα χρόνον ποιοῦσαν ὅ κα θέλη καὶ ἀ[ποτρέχου]‖σαν οἷς κα θέ[λη]. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Διόδωρος [R. f. 6/8 Z.] | *Δελφός. εἰ δέ τις*

ἐφάπτοιτο ἐπὶ καταδ[ο]υ[λισμῶι] | Ἀνθρακίου, ὁ βεβαιωτὴρ ἀσφαλῆ παρεχέτ[ω τὰν ὠ]|νὰν τῶι θεῶι. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀ[πόλ]|λωνος Ταραντῖνος, Ἀμύντα[ς,] ‖ Μένης, Σωδαμίδας Εὐαγγέλο[υ], | Εὐάγγελος Σωδαμίδα, Νικό|μαχος Δεξίππου, Θεύφρασ|στος Φιλοκράτεος.

Z. 5 Ende fehlen 6/8 Zeichen, die den Genitiv des Vatersnamens angaben. — 6 *W.-F.* καταδου[λισμῶι]. — 10 Der Name Μένης (so 1703, 9 und oft) ist hier fraglich; denn Ende von Z. 9 braucht nicht bloss ein Zeichen weggefallen zu sein, es können nach Z. 8 deren drei gewesen sein, also möglich Ἀμύντα[ς, . .]|μένης. — 12 *W.-F.* nur Θεύφρα|στος.

Zeit: Priesterschaft IV (170—157/6).

1688 *W.-F.* 23. C. v. B.

Ἄρχοντος Πατρέα μηνὸς Βοαθοίου, ἀπέδοτο Σωξένα | Σωπόλι[ο]ς καὶ Πασὼ Σωδαμίδα, συνευδοκέοντος καὶ | Ἀσάνδρου τοῦ Σωπόλιος, τῶι θεῶι σῶμα ἀνδρεῖον | ὧι ὄνομα Σαραπίων τὸ γένος Σύρον, τιμᾶς ἀργυρίου ‖ μνᾶν δύο, καὶ τὰν τιμὰν ἔχοντι, καθὼς ἐπίστευσε Σα|ραπίων τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὅτωι ἐλεύθερος εἶ|μεν καὶ ἀνέφαπτος ἀπὸ πάντων. βεβαιωτὴρ κατὰ | τοὺς νόμους· Ἀστόξενος Διονυσίου. μάρ[τ]υροι· | τῶν ἀρχόντων Ἀρχέλαος Δαμοσθένεος, Ἀστύο‖χος Γνωσίλα, Ἄρχων, Βάκχιος, Ξένων, Ἄσανδρος, | Ἀριστίων, Θεόξενος, Καλλείδας.

W.-F. Z. 2 Σωπόλιος voll. — 8 Λιονυσίου Druckfehler; μάρτυροι voll.

Zeit: Wahrscheinlich Priesterschaft V (etwa 156—151). Die Nr. 1688 steht mit 1689—1691 auf einem Polygon, und diese gehören Priesterschaft V an.

1689 *W.-F.* 24. C. v. B.

Ἄρχοντος Πατρέα τοῦ Ἀνδρονίκου μηνὸς Βυσίου, ἀπέ[δ]οτο Σωσί|ας Σωσία τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄ[ν]ο|μα Νικαία τὸ γένος ἐξ Ἀργεθίας καὶ τὸν υἱὸν αὐτᾶς Ἰσθμόν, τιμᾶς | ἀργυρίου μνᾶν πέντε, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Νικαία καὶ Ἰσθμὸς ‖ τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθεροι εἶμεν καὶ ἀνέφαπτοι ἀπὸ πάντων τὸν πάντα | βίον. παραμεινάτω δὲ Νικαία καὶ Ἰσθμὸς παρὰ Σωσίαν ἄχρι οὗ κα ζώη Σωσίας, ποιέοντες πᾶν | τὸ ποτιτασσόμενον Σωσία τὸ δυνατὸν [ἀ]νενκλήτως· εἰ δὲ μὴ ποιέοιν Νικαία καὶ Ἰσθμός, μὴ | ἔστω βέβαιος αὐτοῖς ἁ ὠνά, ἀλλὰ ἄκυρος ἔστω. εἰ δέ τι ἐνκαλέοι Σωσίας Νικαία ἢ Ἰσθμῶ, ἐπικρι|θέντω ἐν ἄνδροις τρίοις· ὅ τι δέ κα οὗτοι κρίνωντι, κύριον

ἔστω. εἰ δέ τί κα πάϑη Σωσίας, ποιη||σάτω τὰ ποτὶ γᾶν πάντα τὰ νομιζόμενα Νικαία καὶ Ἰσϑμός. βεβαιωτὴϱ κατὰ τὸν νόμον τᾶς | πόλιος· Τιμόκϱιτος Εὐκλείδα. εἰ δέ τις ἅπτοιτο Νικαίας ἢ Ἰσϑμοῦ ἐπὶ καταδουλισμῶι ἐπεί | κά τι πάϑη Σωσίας, βέβαιον παϱεχέτω ὁ βεβαιωτὴϱ τῶι ϑεῶι [τ]ὰν ὠνάν. ὁμοίως δὲ καὶ οἱ παϱα|τυγχάνοντες κύϱιοι ἐόντω συλέοντες ὡς ἐλευϑέϱους ἐόντας ἀζάμιοι ἐόντες καὶ ἀ|νυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάϱτυϱοι· οἱ ἱεϱεῖς τοῦ Ἀπόλλω[ν]ος Ἀμύντας, Ἀνδϱόνι||κος καὶ τῶν ἀϱχόντων Πολυκϱάτης, Πασίων καὶ ἰδιῶται Πατϱέας, Εὐκλείδας, Εὐαγόϱας, | Τιμόκϱιτος.

W.-F. Z. 1 *ἀπέδοτο* voll. — 2 *ὄνομα* voll. — 7 *ἀνενκλήτως* voll. — 12 *τὰν* voll. — 14 *Ἀπόλλωνος* voll. — Z. 3 hat der Stein wirklich *ἐξ Ἀϱγεϑίας*, wie *W.-F.* gaben.

Zeit: Priesterschaft V (etwa 156—151).

1690 *W.-F.* 25. C. v. B.

Ἄϱχοντος Πατϱέα μηνὸς Ποιτϱοπίου, ἀπέδοτο Πολύξενος Ζηνέα, συνευδοκέοντος | καὶ τοῦ ἱοῦ Ξενοχάϱεος, σῶμα γυναικεῖον ἇι ὄνομα Βακχὶς τῶι Ἀπόλλωνι τῶι Πυϑί|ωι, τιμᾶς ἀϱγυϱίου μνᾶν τϱιῶν, καὶ τὰν τιμὰν ἔχει, καϑὼς ἐπίστευσε Βακχὶς τὰν | ὠνὰν τῶι ϑεῶι, ἐφ᾽ ὧτωι ἐλευϑέϱα εἶμεν καὶ ἀνέφαπτος καὶ κύϱιον εἶμεν τὸν παϱα||τυχόντα συλέοντα ἐπ᾽ ἐλευϑεϱίαι. βεβαιωτὴϱ [κ]ατὰ τὸν νόμον· Κλευφάνης Ἀμινία. | παϱαμεινάτω δὲ Βακχὶς παϱὰ Πολύξενον ὑπηϱετέουσα Πολυξένω μέχϱι κα | ζώη ἀνενκλήτως. μάϱτυϱοι· τοὶ ἱεϱεῖς Ἀμύντας, Ἀνδϱόνικος καὶ τοὶ ἄϱχον|τες Ἀστύοχος, Νικίας, Τίμων Καλλικϱάτεος.

W.-F. Z. 4/5 nur *τὸν | τυχόντα*. — 5 *κατά* voll.

Zeit: Priesterschaft V (etwa 156—151).

1691 *W.-F.* 26. C. v. B.

Ἄϱχοντος ἐν Δελφοῖς Ἀϑάμβου τοῦ Ἀβϱομάχου μηνὸς Ἰλαίου, ἀπέδοτο Μητϱόδω|ϱος Μηνοδότου τῶι Ἀπόλλωνι σῶμα γυναικεῖον ἇι ὄνομα Σῖμον, ἀϱγυϱίου μνᾶν | πέντε. ἐλευϑέϱα δὲ ἔστω Σῖμον καὶ ἀνέφαπτος ἀπὸ πάντων, καϑὼς αὐτὰ ἐπί-|στευσε τῶι ϑεῶι τὰν ὠνάν, ὥστε ἐλευϑέϱα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάν||των, συνευδοκέοντος καὶ Μηνοδότου. βεβαιωτήϱ· Πϱ[α]ξίας Εὐδόκου. μάϱ|τυϱες· Ἀμύντας, Ἀνδϱόνικος οἱ ἱεϱεῖς, Εὐάγγελος Πάτϱωνος, [Κ]αλλείδας.

W.-F. Z. 5 *Πραξίας* voll. — 6 *Καλλείδας* voll.
Zeit: Priesterschaft V (etwa 156—151).

1692 *W.-F.* 27. C. v. B.

Ἄρχοντος Ἁγίωνος μηνὸς Ἰλαίου, βουλευόντ[ων τ]ὰν δευτέραν ἑξάμηνον | Κλέωνος τοῦ Ἥρυος, Ἀζαράτου τοῦ Ἀντιχάρε[ος, γρα]μματεύοντος δὲ Ταραν|τίνου τοῦ Μνασιθέου, ἐπὶ τοῖσδε ἀπέδοντο Α[R. f. 8 Z.] *[κ]αὶ Κλέων Ἥρυος τῶι Ἀ|πόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνο[μα] Δα[μὼ] τὸ γένος οἰκογενῆ, τι||μᾶς ἀργυρίου μνᾶν πέντε, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀ|πὸ πάντων ποιοῦσαν ὅ κα θέλη καὶ ἀποτρέχουσα[ν] οἷς κα θέλη. βεβαιωτὴρ | κατὰ τοὺς νόμους τᾶς πόλιος· Φιλόνικος Μεν[εδ]άμου. εἰ δέ τις ἐφάπτοι|το Δαμοῦς ἐπὶ καταδουλισμῶι, κύριος ἔστω ὁ παρατυχὼν συλέων | Δαμὼ ἀζάμιος ὢν καὶ ἀνυπόδικος πάσας δίκα[ς κα]ὶ ζαμίας, καὶ ὁ βε||βαιωτὴρ καὶ οἱ ἀποδόμε[ν]οι βέβαιον παρεχόντω [τὰν] ὠ[ν]ὰν τῶι θεῶι. | μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄρχων καὶ Ἄθαμβος κ[α]ὶ ὁ νεωκόρος | Ἀτεισίδας κ[α]ὶ ἰδιῶται Ἀρίσταρχος, Δαμόστρατος.*

W.-F. Z. 9 *πά[σα]ς δίκ[ας καὶ] ζαμίας.* — 10 *ἀποδόμενοι* voll. — 11 *καὶ ὁ νεω°.* — 12 *[Ἀτ]°, καί*; am Ende *Δαμόσ[τ]ρατος.*
Zeit: Priesterschaft IX (in der Zeit von 140—100).

1693 *W.-F.* 28. C. v. B.

Ἄρχοντος Ἀμύντα μη[ν]ὸς Ἡραίου, βουλευόντων τὰν | πρώταν ἑξάμηνον Ξ[ε]νοκρίτου τοῦ Στησιμένεος, | Κλέωνος τοῦ Διονυσ[ί]ου, γραμματεύοντος δὲ Μνασιδάμου | τοῦ Ξενοκρίτου, ἀπέδοτο Πυῤῥίας Ἀρχελάου Δελφὸς τῶι Ἀπόλλωνι || τῶι Πυθίωι ἐπ' ἐλευθερίαι σώματα γυναικεῖα δύο αἷς ὀνόματα Ἀριστοβοί|λα, Κλεονίκα, καὶ ἀνδρεῖον ὧι ὄνομα Ἀριστόβουλος τὸ γένος οἰκογενῆ, | τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσαν τὰν ὠνὰν τῶι θεῶι Ἀρισ|τοβούλα, Κλεονίκα, Ἀριστόβουλος, ἐφ' ὧιτε ἐλεύθε[ροι] καὶ ἀνέφαπτοι εἶ|μεν ἀπὸ παντὸς τὸν πάντα βίον. βεβαιωτὴρ καθ[ὼς] ἁ ὠνὰ ἔχει· Ξενό||κριτος Ταραντίνου Δελφός. τᾶς ὠνᾶς τὸ ἀντίγραφον παρ[ὰ] τὸν | ἱερῆ τοῦ Ἀπόλλωνος Ἄρχωνα Καλλία καὶ παρὰ Φίλιον Χαλεῆ. | μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄθαμβος, Ἄρχων καὶ ὁ ν[εω|κ]όρος Ἀτεισίδας, Σώστρατος Σωτύλου, Μικκύλος Εὐδόκο[υ], | Ἀμύντας Εὐδώρου Δελφοί, Φίλιος, Νικόλαος

Τίμων||ος, Δαμόξενος Κλέωνος, Θρασέας, Πυῤῥίας, Ξενέας, | Νίκιος, Ὑβρίλαος, Λυσίδαμος Χαλεεῖς.

W.-F. Z. 1 μ[ην]ός. — 2 [Ξε]°. — 3 Διονυσίου voll. — 4 [Π]υρρίας. — 5 σ[ώμα]τα [γυ]°. — 6 [φ] ὄνο[μα]. — 7 [ὦν]άν. — 8 °[τ]οβούλα. — 9 καθὼς voll. — 10 παρὰ voll. — 12/13 ν[εω]-κόρος. — 13 Εὐδόκου voll. — 15/16 Ξενέας Ν[έων]ος. — In Z. 10 verschlug sich der Steinmetz nach Ταραντ, glättete den Zeichenplatz und meisselte Jota dahinter ein. — Z. 12. Die Form ν[εωκ]όρος st. ν[ακ]όρος ergänze ich mit *W.-F.* wegen 1692, 11.

Zeit: Priesterschaft IX (in der Zeit von 140—100).

1694 *W.-F.* 29. C. v. B.

[Ἄρχοντος Θρα]συκλέος μηνὸς Ἀμαλίου, ἀπέδοτο Ἀλέ|[ξανδρος Ἀλεξ]άνδρου Βοήθωι σῶμα γυναικεῖον ἇι [. . .| . . . . Θρ]ᾶισσαν ἐπ' ἐλευθερίαι τ[ιμ]ᾶς ἀργυρίου μνᾶς | [καὶ τὰν τ]ιμ[ὰν πᾶσαν ἔχε]ι. βεβαιωτὴρ κατὰ τ[ο]ὺς νόμους τᾶς πόλιος· || [α]νος [R. f. 6/7 Z.]νος. παραμεινάτ[ω δ]ὲ Θρᾶισσα παρὰ Βόηθον | [ποιέου]σα π[ᾶν τὸ] δυνατόν, ἄχρι οὗ κα ζώη Βόηθος· ἐπεὶ δέ κα [μ]ε|[ταλλ]άξηι τὸ[ν βίο]ν Βόηθος, ἐλευθέρα ἔστω Θρᾶισσα καὶ ὁ βεβ[α]ιωτὴρ [μη]κέτι βε[βαι]ούτω. εἰ δέ τί κα ἐν τούτω τῶι χρόνωι Θρᾶισ|σα ἢ Β[ό]ηθος ποτὶ αὑτοσαυτοὺς ἀντιλέγοιν, κριθέντω⟨ι⟩ ἐν ἄνδροις τρί[ο]ις· || ὅ τι δέ κα οὗτοι κρίνωντι, κύριον ἔστω⟨ι⟩. ἀναγραψάτω⟨ι⟩ δὲ Βόηθος | Θρᾶισσαν ἀπὸ τοῦ Ἀλεξάνδρου ὀνόματος τῶι θεῶι ἐν μηνὶ Εἰλαίω | ἐπὶ τᾶς Θρασυκλέος ἀρχᾶς, μένουσαν Θρᾶισαν παρὰ Βόηθον ἄχρ[ι] οὗ κα | ζώη Βόηθος. εἰ δέ κα μὴ ἀναγράψηι Βόηθος Θρᾶισαν καθὼς ἐπάνω γέ|γραπται, πράκτιμος ἔστω Ἀλεξάνδρωι ἀργυρίου μνᾶς. μάρτυροι· Δα||ιάδας Βαβύλου, Φίλαγρος Φίλωνος, Χαρίξενος, Μένης, Δρομοκλεί|δας.

W.-F. Z. 1 [ἄρχοντ]ος Θρασυκλέος. — 2 °[ξανδρος] Ἀλεξάνδρου. — Beim Uebergange von Z. 2/3 unterlasse ich mit *W.-F.* die Ergänzung. Θρᾶισσα ist Eigenname, also ist die Lesung ἇι [ὄνομα —, τὸ γένος Θρ]ᾶισσαν unmöglich. Ich vergass, die Zahl der fehlenden Zeichen zu berechnen und gebe oben die Lücke nach *W.-F.* Ob eine Bemerkung wie in 1720, 2/3 darin stand? *W.-F.* Z. 3 [τι]μᾶς. — 4 [καὶ τὰν τ]ιμ[ὰν ἔχε]ι. In der Lücke nach [τ]ιμ[ὰν] habe ich πᾶσαν eingesetzt, weil sonst zu wenig Raum ausgefüllt wird; möglich ist freilich auch, dass eine Bruchstelle des Steines überhaupt nicht benutzt wurde. — *W.-F.* Z. 4 τούς voll. — 5 [. . . . .]ανος [. . . . .]νος. Παραμεινάτω δέ voll. — 7 fehlt Βόηθος. — 8 °|τὴρ . . ? ετι βε[βαι]ούτω, wofür ich °τὴρ [. .]κετι β° notierte (vgl. 1830, 26/27). — 8 neben τῶι χρόνωι steht τούτω ohne Jota adscr. auf dem Steine. — *W.-F.* Z. 8/9 Θρ[ᾶ]ισσα ἢ Βόηθος. — 9 ἀνεγλείοιν? Der Steinmetz vergass zuerst das Verbum und trug es über °ΓΟΥΣΚΡΙΘ° nach, freilich in einer Weise, die die grösste

Mühe dem Entziffernden macht: die geringen Häkchen zwischen *αν* und *λ* habe ich bei wiederholter Betrachtung des Steines nur auf *τι* beziehen können. Am undeutlichsten ist *τ* geworden: es steht über Jota und unter *ε* von *ἐν* in Z. 8; seine Querhasta ist bestimmt, die senkrechte unklar deshalb, weil sie in die von Jota übergeht. Ueber die Richtigkeit der Lesung kann kein Zweifel sein, wenn man Parallelen wie 1689, 8/9; 1832, 6; 2049, 14, besonders 1971, 12 (*εἰ δέ τι ἀντιλέγοισαν αὐτοὶ ποτὶ αὐτούς κτλ.*) und 2072, 23 (*εἰ δέ τί κα ἐπικαλῇ Μέναρχος Ξένωνι ἢ Πειθολάωι ἢ Ξένων ἢ Πειθόλαος ἀντιλέγωντι ποτὶ Μέναρχον κτλ.*) vergleicht. — Z. 9/10 Stein dreimal ΤΩΙ als Ausgang des Imperativs. — *W.-F.* Z. 9 *τρί[οι]ς*. — 11 Ende ist *Ἐλαίω* und *Ἐλαίω[ι]* möglich. — *W.-F.* Z. 12 *ἄχρι* voll und *οὗ κ[α]*. — 13 *[γέ]γραπται*. — 15 *Δρομο|κλείδας*, aber Z. 16 beginnt und endet mit ΔΑΣ und Z. 15 schliesst mit *Δρομοκλει|*.

Zeit. Wahrscheinlich Priesterschaft VI (etwa 150—140); auf demselben Polygon wie 1695 und 1696.

1695 *W.-F.* 30. C. v. B.

Ἄρχοντος Θρασυκλέος μηνὸς Ἐνδυσποιτροπίου, ἀπέδοντο Ἄθαμβος Ἀθ[α]||νίωνος, Νικίας Ἀριστωνύμου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀν|δρεῖον ὧι ὄνομα ⟨. . .⟩ Νύσας ἐνδογενῆ, τιμᾶς ἀργυρίου μνᾶν τεσσά|ρων, καὶ τὰν τι⟨ . .⟩μὰν ἔχοντι πᾶσαν, καθὼς ἐπίστευσε Νύσας || τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὧιτε ἐλεύθερον εἶμεν Νύσαν καὶ ἀνέφαπτον | ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιέοντα ὅ κα θέλη καὶ ἀποτρέχοντα οἷς κα | θέλη. εἰ δέ τις ἐφ[άπτ]οιτο Νύσα, κ⟨ ⟩ύριος ἔστω ὁ παρατυχὼν συλέων Νύ|σαν ὡς ἐλεύθερο[ν] ἐόντα, καὶ ὁ βεβαιωτὴρ καὶ οἱ ἀποδόμενοι | βέβαιον παρεχόντ[ω τὰν ὠνὰ]ν κατὰ τοὺς νόμους τᾶς πόλιος. (βεβαιωτήρ)· Εὐάγγε||λος Πάτρωνος. [μάρτυ]ροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας καὶ Ἀν|δρόνικος καὶ τῶν [ἀρχόν]των Δεξώνδας, ἰδιῶται Ἀντιχάρης, Θεύ|δοτος, Δίων, Ξενέας, Αἴσων.

W.-F. Z. 1 *ἄρχον[τος]*, am Ende *Ἀθα|νίωνος*. — 3 Nach *ὄνομα* ist eine Lücke von drei Zeichen: entweder ist das Bruchstelle im Steine oder *ομα* war dittographisch wiederholt und wurde wieder ausgeschlagen. Dass nichts fehlt, beweist die Lücke in *τι⟨. . .⟩μὰν* unmittelbar darunter. — *W.-F.* 7 *ἐφάπτοιτο Νύσα[ς, κύ]ριος*, doch hat der Stein *Νύσα κ⟨ ⟩ύριος*, und die Ergänzung *Νύσας* wäre ja auch grammatisch falsch. — *W.-F.* 8 *ἐλεύθερο[ν ἐό]ντα*. — 9 *παρεχόντ[ω τὰν ὠνὰ]ν κατὰ τοὺς νόμους*. — 12 *Κ[λέω]ν* am Schlusse. Deutlich ist vom Namen die Endung *ων*, falsch ist die Lesung des ersten Zeichens als K. Die Reste nach ΘΕΑ∠ sind ΛΙ∠; sie scheinen mir die Ergänzung *Αἴσων* zu fordern.

In Z. 9 vergass der Steinmetz das Wort *βεβαιωτήρ*, möglicherweise vor *κατά*, oder auch nach *πόλιος*.

Zeit. Priesterschaft VI (etwa 150—140).

1696 *W.-F.* 31. *Cauer* 217. C. v. B.

Ἄρχοντος Εὐχαρίδα μηνὸς Δαι[δαφορί]ου, ἐπὶ τοῖσδε ἀπέδοτο Αἴριον, συνευδοκέ|οντος καὶ τοῦ ἀνδρὸς αὐτᾶς Θευγένεος, [τῶι] Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄ|νομα Μάνης τὸ γένος Παφλαγόνα, τιμ[ᾶς ἀ]ργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶ|σαν, καθὼς ἐπίστευσε Μάνης τὰν ὠνὰν τ[ῶι θε]ῶι, ἐφ᾽ ὅτωι ἐλεύθερος ἦται τὸν πάντα χρόνον, ‖ ποιῶν ὅ κα θέλῃ. εἰ δέ τις ἐφάπτοιτο Μάνε[ος ἐ]π[ὶ κ]αταδουλισμῶι, κύριος ἔστω Μάνης αὐ|σωτὸν συλέων ὡς ἐλεύθερος ὤν. ὁμοίως δὲ κα[ὶ] εἴ τις ἄλλος συλέοι Μάνην ὡς ἐλεύθερον | ὄντα, ἀζάμιος ἔστω ὁ συλέων καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. βεβαιωτὴρ κατὰ | τὸν νόμον τᾶς πόλιος· Θρασυκλῆς Πραξία. παραμεινάτω δὲ Μάνης παρὰ Αἴριον ἔτη τρία ἀ|νέγκλητος ποιῶν τὸ ποτιτασσόμενον [τ]ὸ δυνατό[ν]· εἰ δέ κα μὴ παραμένῃ ἀνένκλη‖τος Μάνης παρὰ Αἴριον, καθὼς γέ[γ]ραπται, περὶ οὗ κα ἐπι[κ]αλῇ αὐτῶι, κριθέντων συνελόμενοι ἐν ἄνδροις [τ]ρίοις· ὅ τι δέ κ[α κρίνων]τι, κύριον ἔστω. ἄρχει τῶν τριῶν ἐτέων ὁ ἐνιαυτὸς | ὁ μετὰ τὰν Εὐχαρίδα ἀρχά[ν]. εἰ [δ]έ τι ἀνθρώπινον γένοιτο περὶ Μάνη, εἴ τί κα κατ[αλείπῃ ὑπά]ρ|χον Μάνης, Αιρίου ἔστω καὶ μὴ ἔστω ἐξουσία Μάνει διδόντι μηθενί, τά κα [ἔχῃ. μάρτυ]|ροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας, Ἀν[δ]ρόνικος καὶ οἱ ἄρχοντες Πασίω[ν, Βαβύλος,] ‖ Τιμοκλῆς, ἰδιῶται Μένης, Δάμων Δαμοκράτεος, Ἀντιφάνης, Νικέα[ς, Τιμόκριτος].

W.-F. Z. 1 Δαιδα[φορίου]. — 3 τιμ[ᾶς] ἀργυρίου. — 5 Μάνε[ος ἐ]πὶ καταδουλισμῷ. — 6 δὲ κ[αί]. — 9 ποτιτασσόμε[νο]ν τὸ δυνατόν· εἰ [δέ] κ[α]. — 10 καθὼς γέ[γρ]α[πτ]αι, περὶ οὗ κα ἐπικαλ[ῇ]. — 11 [τρίο]ις· ὅ τι δὲ κ[ρίνων]τι. — 12 εἴ τί κα κατ[αλείποι]. — 13 ἐξ[ου]σία. — Z. 13 Schluss jetzt nur erhalten bis τά κα, *W.-F.* τά κα ἔ[χῃ? . . μάρτυ]|. — 14 nur bis Πασίω[erhalten, *W.-F.* Πασίων, [Βαβύλ]ος (vgl. 1699, 18). — 15 jetzt nur bis Νικέα[erhalten, *W.-F.* Νικέας, Τιμ[ό]κ[ριτ]ος (vgl. 1699, 19). — In Z. 14 sah ich das δ von Ἀνδρόνικος nicht mehr, *W.-F.* geben Ἀνδρόνικος voll. — Zum Passus in Z. 13 vgl. 1891, 31.

Zeit. Priesterschaft VI (etwa 150—140).

1697 *W.-F.* 32. C. v. B.

Ἄρχοντος Ἀτεισίδα μηνὸς Ἡρακλείου, βουλευόντων τὰν δευτέραν ἑξάμηνον Νικαρέτου τοῦ | Ἀντιχάρεος, Ἀναξανδρίδα τοῦ Αἰακίδα, γραμματεύοντος δὲ Καλλίκωνος τοῦ Εὐκράτεος, ἐπὶ τοῖσ|δε ἀπέδοτο Ἀριστὼ Ἥρυος, συνευδοκέοντος καὶ τοῦ

ἀνδρὸς αὐτᾶς Φιλονίκου, τῶι Ἀπόλλωνι τῶι Πυ|θίωι σῶμα γυναικεῖον αι ὄνομα Σωτηρὶς τὸ γένος οἰκογενῆ, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καὶ τὰν τι‖μὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Σωτηρὶς τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀ|νέφαπτος ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιοῦσα ὅ κα θέλη καὶ ἀποτρέχουσα οἷς κα θέλη. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Κλέων Ἥρυος. εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισμῶι Σωτηρίος, βέ|βαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀποδομένα Ἀριστὼ καὶ ὁ βεβαιωτὴρ βεβαιούτω· εἰ δὲ μὴ πα|ρέχοιν βέβαιον τὰν ὠνὰν τῶι θεῶι, πράκτιμοι ἔστων μνᾶν τριάκοντα. ὁμοίως δὲ καὶ οἱ παρατυχόν‖τες κύριοι ἐόντων συλέοντες Σωτηρὶν ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι | πάσας δίκας καὶ ζαμίας. - μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄρχων Καλλία, Ἄθαμβος Ἀβρομάχου | καὶ οἱ ἄρχοντες Κλέων Ἥρυος, Ἀζάρατος Ἀντιχάρεος, Ταραντῖνος Μνασιθ[έ]ου καὶ ὁ νεωκόρος Ἀτεισίδας.

W.-F. Z. 1 [Νικ]αρέτου τοῦ. — 5 ἐφ' ᾧτε. — 12 Μνασιθέου und Ἀτει-[σίδας]. — Nach ζαμίας Z. 11 ist ein freier Platz von der Grösse eines Zeichens, was als eine Art Interpunktion anzusehen ist; vgl. 1698, 7 u. oft. — Ebenso klar wie in Z. 1 steht derselbe Name Νικαρέτου 1698, 2. — Zur Construktion in Z. 5/6 vgl. 1824, 4.

Zeit. Priesterschaft IX (in der Zeit von 140—100).

1698 *W.-F.* 33. C. v. B.

Ἄρχοντος Ἀτεισίδα μηνὸς Ἐνδυσποιτροπίου, βουλευόντων τὰν δευτέραν ἑξάμηνον Ἀναξανδρί|δα τοῦ Αἰακίδα, Νικαρέτου τοῦ Ἀντιχάρεος, γραμματεύοντος [δὲ] Καλλίκωνος τοῦ Εὐκράτεος, ἐπὶ τοῖσ|δε ἀπέδοτο Νικὼ Ἐχεκλέος, συνευδοκέοντος καὶ τοῦ ἀνδρὸς [α]ὐτᾶς Λαιάδα καὶ τᾶν θυγατέρων Εὐκλεί|ας καὶ Ἰοππίδος καὶ τοῦ υἱοῦ Βαβύλου, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνο[μ]α Εὐρώπα τὸ γέ‖νος οἰκογενῆ, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Εὐρώπα | τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιοῦ|σα ἅ κα θέλη καὶ ἀποτρέχουσα οις κα θέλη. - βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πό[(λ)]ιος· Ἄγων Ἀρι|στίωνος. εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισμῶ Εὐρώπας, βέβαιον παρεχέτω τῶι θεῶι τ[ὰ]ν ὠνὰν | ἅ τε ἀποδομένα Νικὼ καὶ ὁ βεβαιωτὴρ βεβαιούτω· εἰ δὲ μὴ παρέχοιν βέβαιον τῶι θεῶι τὰν ὠνάν, ‖ πράκτιμοι ἐόντων ἀργυρίου μνᾶν τριάκοντα. ὁμοίως δὲ καὶ οἱ παρατυνχ[ά]νοντες κύριοι ἐόντων συ|λέοντες Εὐρώπαν ὡς ἐλευθέραν οὖσαν καὶ

πράσσοντες τὸ γ[ε]γραμμένον ἐπίτιμον ἀζάμιοι ἐ|όντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄθαμβος, | [Ἄρχων]· Ἀτεισίδας, Ξενέας, Δαμόστρατος, Ἀβρόμαχος, Ξενόκριτος. ἁ ὠνὰ παρ' Ἀτεισίδαν.

W.-F. Z. 2 *δὲ κα°.* — 3 *αὐτᾶς.* — 4 *ὄνομα.* — 7 *πόλιος* (Stein *ποδ°*). — 8 *τὰν ὠνὰν.* — 10 *°τυνχάνοντες.* — 11 *γεγρα°.* — Nach dem zweiten *θέλη* in Z. 7 ist ein freier Platz von der Grösse eines Zeichens; vgl. 1697, 11, 1704, 9. — Z. 13 fehlen zu Anfang 5 Zeichen; *W.-F.* setzen mit Berufung (s. Notes S. 305 ff.) auf 1697, 11 richtig [*Ἄρχων*] ein.

Die auffällige Namensform *Ἰοππίς* ist gleich *Ἰο-ππίς* (vgl. *Ἰο-κάστη, Ἰο-δάμα*), mit Doppelung für *Ἰο-π-ίς*, wie *Νεο-ττ-ίς* für **Νεο-τ-ίς* (vgl. *Ἰό-λλας*), also Kurzform zu **Ἰο-πάτρα* oder a.

Zeit. Priesterschaft IX (in der Zeit von 140—100).

1699 *W.-F.* 34. C. v. B.

Ἄρχοντος Εὐχαρίδα μηνὸς Ποι|τροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Στό|λος, συνευδοκεόντων καὶ τῶν υἱῶν | αὐτοῦ Εὐκλείδα καὶ Σωσιδάμου, τῶι Ἀπόλλω||νι τῶι Πυθίωι σῶμα γυναικεῖον κορίδιον τὸ γένος | ἐνδογενὲς ἆι ὄνομα Μέλισσα, τιμᾶς ἀργυρίου μνᾶς, καὶ τὰν τιμὰν ἔχει [π]ᾶσαν, καθὼς ἐπίστευσε Μέλισσα τῶι θε|ῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν | πάντα χρόνον. βεβαιω[τ]ῆρες κατὰ τοὺς νόμους τᾶς πόλιος· Τιμοκλῆς || Πολύωνος, Σώστρατος Σωτύλου. εἰ δέ τίς κα ἐφάπτηται Μελίσσας ἐπὶ | καταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀποδό|μενοι Στόλος καὶ Εὐκλείδας καὶ Σωσίδαμος καὶ οἱ βεβαιωτῆρες Τιμοκλῆς, Σώ|στρατος κατὰ τοὺς νόμους τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | τῶν ἰδιωτᾶν κύριοι ἐόντων συλέοντες Μέλισσαν ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐ|όντες καὶ ἀνυπόδικοι τοὶ συλέοντες πάσας δίκας καὶ ζαμίας . . . . || . . . . | . . . . μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀ|πόλλωνος Πραξίας, [Ἀ]νδρόνικος καὶ οἱ ἄρχοντες Βαβύλος, Τιμοκλῆς, Πασίων καὶ ἰδιῶται Φιλοκράτης Ξένωνος, | Ἔχυλλος, Καλλιγένης Κλευδάμου, Διονύσιος Ἀστοξένου, Κλεύβουλος, Ἀναξανδρίδας, Ξένων Δημητρίου, Τιμόκρι||τος.

W.-F. Z. 1/2 *Ποι|[τ]ροπίου.* — 6 [*Μέ*]*λισσα.* — 7 *πᾶσαν.* — 8 schlug der Steinmetz *°ατος* st. *ἀνέφαπτος* ein und setzte *π* klein über A und T. — *W.-F.* 9 *βεβαιωτῆρες* voll. — 10 *Σώσ[τ]ρατος.* — 12 *Σώ|[σ]τρατος.* — 15/17

sind 2 Zeilen bis zur Unleserlichkeit ausgeschlagen. — *W.-F.* Z. 19 *Κα[λλι]γέ[ν]ης*, aber nur *ν* ist undeutlich.

Zeit. Priesterschaft VI (etwa 150—140).

1700 *W.-F.* 35. C. v. B.

Στραταγέοντος τῶν Φωκέων Πυῤῥίνου Τιθορρέος μηνὸς πέμπτου, ἐν Δελφοῖς | δὲ ἄρχοντος Εὐχαρίδα μηνὸς Βυσίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀριστογένης Νικέα Λιλαιεὺς | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώματα γυναικεῖα δύο αἷς ὀνόματα Σωσίς, Ἀριστονίκα, τιμᾶς | ἀργυρίου μνᾶν ὀκτώ, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσαν Σωσὶς καὶ Ἀριστο‖νίκα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθεραι εἶμεν καὶ ἀνέφαπτοι ἀπὸ πάντων | τὸμ πάντα βίον, ποιέουσαι ὅ κα θέλωντι καὶ ἀποτρέχουσαι οἷς κα θέλωντι. βεβαιωτῆρες | κατὰ τοὺς νόμους τᾶς πόλιος· Νικόμαχος Ἀριστάρχου, Φάϋλλος Ἐπινίκου Λιλαιεῖς. εἰ δέ τίς | κα ἅπτηται Σωσίδος ἢ Ἀριστονίκας ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι | τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἀριστογένης καὶ οἱ βεβαιωτῆρες Νικόμαχος, Φάϋλλος κατὰ ‖ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες | Σωσίδα καὶ Ἀριστονίκαν ὡς ἐλευθέρας ἐούσας ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι | πάσας δίκας καὶ ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας, Ἀνδρόνι|κος καὶ οἱ ἄρχοντ[ε]ς Εὔδωρος Ἀμύντα, Ξεναγόρας Εὐκλείδα, Εὐκράτης Καλ|λίκωνος καὶ ἰδιῶ[ται] Ἡρακλείδ[α]ς Καλλία, Καλλείδας Εὐκλείδα, Γλαῦκος Ξένω‖νος, Ὑβρίας, Τιμόκριτο[ς Δ]ελφοί, Πολυκράτης, Νικέας [Ἀ]μύντα, Ἀριστοφάνης, Μνασίας | Ξενοκράτεος, Θρασύμαχος [(Λ)]ιλ[α]ιεῖς.

W.-F. Z. 13 *ἄρχοντες.* — 14 *Ἡρακλείδας.* — 15 *Τιμόκριτος Δελφοί*, dann *Ἀμύντα.* — Für das letzte Wort hat der Stein: ΑΙΑ▒ΙΕΙΣ, *W.-F.* *[Λ]ιλ[α]ιεῖς.*

Zeit. Priesterschaft VI (etwa 150—140).

1701 *W.-F.* 36. C. v. B.

Ἄρχοντος Εὐχαρίδα μηνὸς Ἐνδυσποιτροπίου, βουλευόντων τὰν δευτέ|ραν ἑξάμηνον Εὐδώρου, Εὐκράτεος, Ξεναγόρ[α], ἀπέδοτο Κρατὼ Νικοδάμου | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον οἰκογενὲς ἇι ὄνομα Δορκίς, τι|μᾶς ἀργυρίου μνᾶν δυῶν καὶ ἡμιμναίου, καὶ τὰν τιμὰν ἔχει πᾶσαν. βεβαιωτὴρ ‖ κατὰ τοὺς νόμους τᾶς πόλιος· Ξενοφάνης Φιλονίκου. καθὼς ἐπίστευσε Δορ|κὶς τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος τὸν πάντα χρόνον, | ποιοῦσα ὅ κα θέλημ καὶ

[ἀ]ποτρέχουσα οις κα θέλῃ· εἰ δέ τις κατ[α]δουλίζοιτο Δορ|κίδα, κυρία ἔστω αὐσαυτὰν συλέουσα καὶ ἄλλος ὁ θέλων ὑπὲρ Δορκίδος καὶ ὁ | βεβαιωτὴρ βεβαιούτω ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδι||κοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος | Ἀνδρόνικος, Πραξίας καὶ τοὶ ἄρχοντες Ξεναγόρας, Εὐκράτης, Εὔδωρος καὶ ὁ ναοκόρος Μένης, ἰδιῶται Εὐχαρίδας, [. .]ΑΘ[. . . . .] Εὐάρ|χου, Τιμόκριτος, Καλλείδας, Καλλίκων.

W.-F. Z. 2 *Ξεναγόρα*. — 7 *ἀποτρέχουσα* und *καταδουλίζοιτο* voll. — 7/8 *Δορ[κίδα]*, | *κυρία*, aber *κιδα* steht klar zu Anfang von Z. 8. — 12/13 *Εὐχαρίδας, Ἀθ[ανί]ων Εὐδώ|ρου*, aber *Εὐάρ χου* ist ganz deutlich, und für die Lücke zwischen *Εὐχαρίδας* und *Εὐάρχου* notierte ich: ΛΓΑΘ [. . . . .]. Es ist nicht unmöglich, dass die 2 Zeichen nach °*δας* ein Versehen des Steinmetzen sind und der Name mit ΑΘ begann.

Zeit. Priesterschaft VI (etwa 150—140).

1702 *W.-F.* 37. C. v. B.

Ἄρχοντος ἐν Δελφοῖς Ἀμφιστράτου μηνὸς Ἡρακλείου, ἐπὶ τοῖσδε ἀ|πέδοτο Πόλλις Πολυκράτεος σῶμα ἀνδρεῖον ᾧι ὄνομα Τέχνων τῶι Ἀπόλ λωνι τῶι Πυ[θ]ίωι, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε τὰν | ὠνὰν Τέχνων τῶι θεῶι. παραμεινάτω δὲ Τέχνων παρὰ Πόλλιν ἔτη ὀκτὼ ποιῶν || τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνένκλητος ὤν, ἄχρι οὗ κα διε[ξέλ]|θῃ τὰ ὀκτὼ ἔτη· καὶ εἴ κα παραμείνῃ, καθὼς γέγραπται, βέβαιος ἔσ[τ]ω ἁ ὠνὰ τῶι θεῶι, | καὶ ὁ βεβαιωτὴρ βεβα[ιο]ύτω τῶι θεῶι κατὰ τοὺς νόμους τᾶς πόλιος εἰς τὸν πάν(τα) χρό νον· εἰ δὲ μὴ παραμείναι Τέχνων ἀνένκλητος καθὼς γέγραπται, ἀτελὴς καὶ | ἄκυρος ἔστω ἁ ὠνά. βεβαιωτὴ[ρ] κατὰ τοὺς νόμους τᾶς πόλιος· Τελέσαρχος || Δαμοτέλεος. κύριος δὲ ἔστω ὁ παρεντυχών, εἴ κα παραμείνῃ Τέχνων τὰ ὀ|κτὼ ἔτ[η], συλέων Τέχνωνα ὡς ἐλεύθερον ἀνυπόδικος ὢν καὶ ἀνυπεύθυνος | πάσας δίκας καὶ ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀ[(μ)]ύντας, Τα ραντῖνος, ἰδιῶται Ξένων, Μένων, Μαντίας, Δημήτριος, Σιμίας, Ἀντιφά νης, Ξενόδαμος, Ἀγάθων Τριχονεύς.

W.-F. Z. 3 *Πυθίωι*. — 6 *ἔστω*. — 7 *βεβαιούτω*. — 9 *βεβαιωτήρ*. — 11 *ἔτη* voll. — Sie betonen Z. 2 *Πολλίς*, Z. 4 *Πολλίν*. — In Z. 7 hat der Stein °*πανχρο*°. — 12 ΑΝΥΝ°. — Beim Uebergange von Z. 5 zu 6 wäre die Form **δι-ἑ|θῇ* verständlich, wenn auch die hier erforderliche Bedeutung nicht belegt ist, um der Parallelen willen aber habe ich die Conjektur von *W.-F. διε[ξέλ]|θῃ* aufgenommen, vgl. 1832, 16 *ἄχρι κα διεξέλθωντι*

τὰ ὀκτὼ ἔτη und 2015, 9 ἐπεὶ δέ κα διέλθωντι τὰ ὀκτὼ ἔτη⟨ι⟩: möglich also auch διέ[λ]|θη.

Zeit. Priesterschaft IV (170–157/6).

1703 *W.-F.* 38. C. v. B.

Ἄρχοντος Θρασυκλέος μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀνδρόνικος Φρικίδα τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώματα δύο παιδάρια ἐνδογενῆ οἷς ὀνύματα Σωτηρίδας καὶ Σωσικράτης, τιμᾶς ἀρ|γυρίου μνᾶν ἑπτά, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσαν Σωτηρίδας καὶ Σωσικράτης | τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθεροι εἶμεν καὶ ἀνέφαπτοι ἀπὸ πάντων τὸν πάντα χρό||νον, ποιέοντες ὅ κα θέλωντι. παραμεινάντων δὲ παρὰ Ἀνδρόνικον Σωτηρίδας καὶ Σωσικράτης | ἄχρι οὗ κα ζώη Ἀνδρόνικος ποιέοντες τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλή|τως· εἰ δέ κα μὴ ποιέωντι τὸ ποτιτασσόμενον, κύριος ἔστω ἐπιτιμέων τρόπωι ὧι κα θέλη. ἐπεὶ δέ | κά τι πάθη Ἀνδρόνι[κος], [ἐλεύ]θεροι ἔστωσαν καὶ ἀνέφαπτοι ἀπὸ πάντων τὸμ πάντα χρόνον. βεβαιωτῆρες | καὶ προστάται κα[τ]ὰ τὸν [νό]μον τᾶς πόλιος· Μένης, Τιμόκριτος. εἰ δέ τις ἅπτοιτο μετὰ τὸ μεταλλάξαι || Ἀνδρόνικον Σωτηρίδα καὶ Σω[σικρά]τεος ἐπὶ καταδουλισσμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνάν· εἰ δὲ μὴ | παρέχοιν βέβαιον, πράκτιμοι ἔστων κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντω[ν] | συλέοντες Σωτηρίδαν καὶ Σωσικράτη ὡς ἐλευθέρους ἐόντας ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πά|σας δίκας καὶ ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας, Ἀνδρόνικος καὶ οἱ ἄρχοντες Ἀρι|στόβουλος, Δαμόστρα[το]ς, Τίμων καὶ ἰδιῶται Ἧρυς, Τίσων Θευχάριος, Ξένων Πολύωνος, Δημήτριος.

Das erste Wort endet scheinbar auf °τοις: zwischen ο und ς ist eine Verletzung im Steine, die einem Jota gleicht. — Z. 2 Die Form ὀνύματα ist sicher, vgl. 1889, 4. — 3 liessen *W.-F.* nach ἑπτά die obige Quittungsformel weg. — *W.-F.* 5 nur παραμεινάντω st. °των. — 9 κα[τὰ]. — 10 Σω[σικ]ράτεος ἐπὶ καταδουλισμῶι. — 11 ἐόντων voll. — 14 Δαμόστρατ[ος] statt °[το]ς.

Zeit. Priesterschaft VI (etwa 150–140).

1704 *W.-F.* 39. C. v. B.

Ἄρχοντος Βαβύλου μηνὸς Βουκατίου, | ἀπέδοτο Στράταγος Τηλεφάνεος | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναι|κεῖον ἇι ὄνομα Στολίς, συνευδοκέ||οντος καὶ τοῦ υἱοῦ Νικάνορος, κατὰ τὸν | νόμον τᾶς πόλιος, τιμᾶς ἀργυρίου μνᾶν τρι|ῶν, καὶ τὰν

τιμὰν ἔχει, ἐφ' ὅτω ἐλευθέρα εἶμεν | ἀπὸ πάντων. βεβαιωτὴρ κατὰ τὸν νόμον· Καλ|λικράτης Διοδώρου. μάρτυροι· - Ὑβρίας ὁ ἄρχων || τᾶς πόλιος, Ἀνδρόνικος ὁ ἱερεύς, Μένης, Καλλικρά|της, Δάμων Ξενοστράτου, Σωσίπατρος, Ἐκέ|φυλος Πολυκλείτου, Τίμων.

W.-F. Z. 9 *Πυρρίας*. Vor *Ὑβρίας* freier Raum von der Grösse eines Zeichens, wie 1697, 11; 1698, 7. — 7 *ὅτω* hat kein Jota.

Zeit. Wahrscheinlich Priesterschaft VI (etwa 150—140); auf demselben Polygon wie 1706 und 1707. Derselbe Freilasser 1862, 1.

1705 *W.-F.* 40. C. v. B.

Ἄρχοντος Βαβύλου μηνὸς Ἡρακλείου, ἀπ[έ]δοντο Με|νὼ καὶ Καλλίας οἱ Δίωνος κοράσιον ἆι ὄνομα Συνω|ρὶς τῶι Ἀπόλλωνι τῶι Πυθίωι, τιμᾶς ἀργυρίου στα|τήρων τριάκοντα, καὶ τὰν τιμὰν ἔχοντι, κα||θὼς ἐπίστευσε Συνωρὶς τῶι Ἀπόλλωνι, ἐφ' ὅτωι | ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων, | ποιοῦσαν ὅ κα θέλη καὶ ἀποτρέχουσαν | οἷς κα θέλη· εἰ δέ τις ἐφάπτοιτο ἐπὶ κα|ταδουλισμῶι Συνωρίδος, συλήτω ὁ πα||ρατυχὼν ὡς ἐλευθέραν ἐοῦσαν. βεβαι|ωτὴρ κατὰ τοὺς νόμους [τ]ᾶς πόλιος· | Πολίτας Ἀσάνδρου. μ[άρ]τυροι· ὁ ἱερεὺς | Ἀνδρόνικος κ[α]ὶ ὁ νεωκόρος Μένης | καὶ τῶν ἀρχόντων Ἰατάδας καὶ ἰδι||ῶται Μηνόδοτος, Πεισίστρατος | Βούλωνος, Ἀριστίων Ἄγωνος. | ἁ ὠνὰ παρὰ Μένητα.

W.-F. Z. 1 *ἀπέδ°*. — 11 *τᾶς*. — 12 *μάρτυροι*. — 13 *καί*. — In Z. 2 schlug der Steinmetz nach KAI wieder KAI ein, suchte das zweite Jota aber mit einer Schräghasta zu *λ* umzugestalten. — Zu Z. 1 bemerken *W.-F.* S. 306: Peut-être faut-il lire *Μένω[ν]*; sie betonen *Μένω*. — Der Name *Ἰατάδας* ist wohl gleich *Ἰᾱτ-άδας*, wie von *ἰᾱτός* (Pl. leg. 862) „heilend, geheilt"; vgl. *Θρεπτ-ίων* zu *θρεπτός*, *Χαριστ-ίων* zu *χαριστός*; er begegnet öfter, s. Index.

Zeit. Wahrscheinlich Priesterschaft VI (etwa 150—140); auf demselben Polygon wie 1706 und 1707.

1706 *W.-F.* 41. C. v. B.

Ἄρχοντος Εὐδώρου μηνὸς Δαιδαφορίου, ἀπέδοτο ἁ πόλις | τῶν Δελφῶν τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνο|μα Εὐτυχίδας ἐνδογενῆ, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, | καθὼς ἐπίστευσε Εὐτυχίδας τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὅτωι ἐλεύθερον εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα | βίον, καὶ τὰν τιμὰν ἔχει πᾶσαν. βεβαιωτὴρ κατὰ τοὺς νό|μους τᾶς πόλιος· Καλλίμαχος Βαβύλου. μάρτυροι· οἱ ἱερεῖς τοῦ | Ἀπόλ-

λωνος Ἀνδρόνικος, Πραξίας, ἰδιῶται Δρομοκλείδας, Ἀγί|ων Κλευδάμου, Δαμόστρατος, Μένης, Φίλαγρος.

Bis auf das ς in τᾶς ist die Inschrift gut erhalten. Zur Publikation dieser Nummer bei *W.-F.* habe ich nichts zu bemerken gefunden; sie ist korrekt.

Zeit. Priesterschaft VI (etwa 150—140).

1707 *W.-F.* 42. C. v. B.

Ἄρχοντος Εὐδώρου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀστύοχος Γνωσιλάου τῶι Ἀπόλλωνι τῶι Πυ|θίωι σώματα ἀνδρεῖα δύο οἷς ὀνόματα Δημήτριος, Ἐπικράτης, τιμᾶς ἀργυρίου μνᾶν ἕξ, καὶ τὰν τι|μὰν ἔχει πᾶσαν, καὶ ἄλλο σῶμα γυναικεῖον ἇι ὄνομα Σαραπιὰς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσαν | Δημήτριος καὶ Ἐπικράτης καὶ Σαραπιὰς τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε αὐτοὺς ἐλευθέρους εἶμεν καὶ ἀνεφάπτους || τὸμ πάντα χρόνον, ποιοῦντας ὅ κα θέλωντι. εἰ δέ τις ἐφάπτοιτο ἐπὶ καταδουλισμῶι, κύριος ἔστω ὁ παρα|τυχὼν συλέων Δημήτριον καὶ Ἐπικράτην καὶ Σαραπιάδα ὡς ἐλευθέρους ἀζάμιος ἐὼν καὶ ἀνυπόδι|κος πάσας δίκας καὶ ζαμίας. παραμεινάτωσαν δὲ Ἀστυόχωι καὶ Ἀρισταγόρα ἔντε κα ζώωντι Δημήτριος | καὶ Ἐπικράτης καὶ Σαραπιάς· εἰ δὲ μή, κύριοι ἐόντων κολαζόμενοι αὐτοὺς τρόπωι ὧι κα θέλωντι. βεβαιωτὴρ κατὰ | τὸν νομον· Καλλείδας Δαμοχάρεος. μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀνδρόνικος, Πραξίας καὶ οἱ βουλευταὶ Ἀν||τιγένης, Θρασυκλῆς, Εὐκλῆς, ἰδιῶται Νικόμαχος, Μένων, Ἀστόξενος, Μένης, Εὐκλείδας.

Bisher war Z. 7 der doppelte Dativ unverständlich, da doch Z. 1 nur ein Freilasser genannt ist. Das wird klar durch Folgendes: Zwischen No. 1706 und 1707 ist mit kleinen Zeichen noch eingedrängt: *καὶ ὁ υἱὸς αὐτοῦ Ἀρίσταρχος* — wie Z. 7 erweist, ein Nachtrag zu Z. 1 *ἀπέδοτο Ἀστύοχος*. Freilich stimmt mit meiner Abschrift der dazwischen gemeisselten Zeile nicht die Namensform in Z. 7; dort notierte ich *Ἀρίσταρχος*, hier *Ἀρισταγόρα* (Dativ ohne Jota). Es muss am Steine nochmals nachgeprüft werden, ob der Steinmetz oder ich irrte. Auch 1859, 2 wird *Ἀρίσταρχος* als Sohn genannt.

Zeit. Priesterschaft VI (etwa 150—140).

1708 *W.-F.* 43. C. v. B.

Ἄρχο[ντος Ἀμφι]στ[ράτου] | μηνὸς [ ]|κου, ἐπὶ τοῖσ[δε ἀπέδ]ο[τ]ο Τι|μὼ Εὐδίκου, συνεπαινέοντος | τοῦ υἱοῦ αὐτᾶς Λαδίκου, σῶμα γυ||ναικεῖον κοράσιον ἇι ὄνομα Μήδα, | τιμᾶς ἀργυρίου δύο μνᾶν, καθὼς ἐπί|στευσε Μήδα τῶι θεῶι τὰν

ὠνάν, ἐφ᾽ ὧι|τε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ‖ ἀπὸ πάντων τὸμ πάντα χρόνον, ποιοῦ|σα ὅ κα θέλῃ. βεβαιωτὴρ κατὰ τοὺς | νόμους τᾶς πόλιος· Δρομοκλείδας. τρε|φέτω δὲ Μήδα Σωσίβιον τὸν ἴδιον πατέ|[ρ]α καὶ τὰμ ματέρα Σωσὼ καὶ εὐσχημο‖νιζέτω, ἐπεί κα ἐν ἁλικίαν ἔλθῃ, εἰ χρείαν ἔ|χοισαν Σωσίβιος ἢ Σωσὼ τροφᾶς ἢ εὐσχημονι|σμοῦ, εἴτε δουλεύοντες εἶεν εἴτε ἐλεύθεροι | γεγονότες· εἰ δὲ μὴ τρέφοι ἢ μὴ εὐσχημονίζοι Μήδα | Σωσίβιον ἢ Σωσὼ χρείαν ἔχοντας, ἐξουσία ἔστω ‖ Σωσιβίωι καὶ Σωσοῖ κολάζειν Μήδαν ὧ[ι] θέλοιν | τρόπωι, καὶ ἄ[λλ]ωι ὑπὲρ Σωσίβιον ἢ Σωσὼ ὅγ κα κε|λεύῃ Σωσίβιος ἢ Σωσώ. εἰ δέ τις ἐφάπτοιτο Μήδας | ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶι | θεῶι τὰν ὠνὰν ἅ τε ἀποδομένα Τιμὼ καὶ ὁ βεβαι‖ωτὴρ Δρομοκλείδας· εἰ δὲ μὴ παρέχοισαν, πράκτιμοι | ἔστων Μήδαι καὶ Σωσιβίωι καὶ Σωσοῖ ἀργυρίου μνᾶν | ⟨μ[ν]ᾶν⟩ τεσσάρων κατὰ τὸν νόμον ἅ τε ἀποδομένα καὶ | ὁ βεβαιω[τ]ήρ. ὁμοίως δὲ καὶ ὁ παρατυχὼν κύριος ἔστω | Μήδαν σ[υλ]έων ὡς ἐλευθέραν ἀνυπόδικος ἐὼν καὶ ἀ‖ζάμιος πάσας δίκας καὶ ζαμίας, καθώς κα συλάσῃ ἐπ᾽ ἐ|λευθερίαι. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας | καὶ τῶν ἀρχόντων Ἄσανδρος, ἰδιῶται Μένης, Εὐκλῆς Ἐτυ|μώνδα, Μεσατεύς, Ἄρχων Καλλία, Ἄθαμβος Ἀγάθω|νος, Τυρβαῖος.

W.-F. Z. 1 Ἄρχο[ντος Ἀμφι]στ[ράτου] nach 1702, 1716 und 1717. Die zwei von ihnen gegebenen Zeichen στ sind unsicher; der Stein ist an dieser Stelle so zerrissen, dass man mehrere Risse darauf beziehen kann. — *W.-F.* Z. 3 |.ου, notierte κ, was zu Monatsnamen nicht passt. Ob |ιου? — 8 hat der Stein ΙΣΤΕΜΗ, νοε ist darüber nachgetragen. — *W.-F.* 11 θέλῃ. — 13/14 πατέ|ρα. — Nach Z. 14 ist eine Zeile freigelassen. Der Steinmetz fing mit νι an, aber weil der Stein so rissig war, unterliess er seine Arbeit hier, setzte eine Zeile tiefer nochmals mit °νι° ein und fuhr regelrecht fort. — *W.-F.* 21 ἄλλωι. — 27 steht vor τεσσάρων obige Dittographie. — *W.-F.* 28 βεβαιωτὴρ voll. — 30 συλάβῃ. — 32 fehlt ἰδιῶται. — 32 Das letzte Σ von Ἄσανδρος ist darüber eingemeisselt. — 33 hat der Stein *Μεσατεύς*, ursprünglich Bein. des Dionysos (Paus. 7, 21, 6).

Zeit. Wahrscheinlich Priesterschaft V (etwa 156—151); auf gleichem Polygon wie 1709—1711.

1709 *W.-F.* 44. C. v. B.

Ἄρχοντος Ἀθάμβου τοῦ Ἁβρομάχου μηνὸς Θεοξενίου, ἐπὶ | τοῖσδε ἀπέδοτο Ἄναξις Ἐμμενίδα τῶι Ἀπόλλωνι τῶι | Πυθίωι, συνευδοκεόντων καὶ τῶν υἱῶν Ἐμμενίδα καὶ | Μνασιθέου, σῶμα ἀνδρεῖον ὧι ὄνομα Πολυκράτης τὸ γένος ‖ οἰκογενῆ,

τιμᾶς ἀργυρίου πέντε ἡμιμναίων, καθὼς ἐπί|στευσε Πολυκράτης τὰν ὠνὰν τῶι θεῶι, ἐφ᾽ ὧιτ[ε] ἐλε[ύ]||θερον εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸμ πάντα βίο[ν], | ποέοντα ⟨- - -⟩ ὅ κα θέλη. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς | πόλιος· Εὐάγγελος Πάτρωνος. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλω||νος Ἀνδρόνικος, Ἀμύντας καὶ ὁ νεω[κ]όρος Μένης καὶ τοὶ ἄρχοντες | [Ε]ὔδωρος, Ἀριστίων, Πολέμαρχος· Θεύδοτος Εἰραναίου, Νικόμαχος, | Δέξιππος, Ἀμφίστρατος, Μαντίας Δαμοχάρεος, Ἑρμαῖος Σωσθ[έ]νεος, | Ἀρτεμίδωρος.

W.-F. Z. 6 *ὧιτε ἐλεύ|°.* — 7 *βίον.* — 8 sind nach *ποέοντα* 3 Zeichen ausgeschlagen. — *W.-F.* 10 *νεωκόρος.* — 11 *Εὔδωρος.* — 12 *Σωσθένεος* voll. — Sie betonen *Ἀναξίς* in Z. 2. — Wegen der Interpunktion in Z. 11 vgl. 1710, 15.

Zeit. Priesterschaft V (etwa 156—151).

1710 *W.-F.* 45. Nach einem Abklatsche c. v. B.

Ἄρχοντος Ἀθάμβου τοῦ Ἁβρομάχου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀ|πέδοτο Ἀνδρομένης Βαβύλου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυ|ναικεῖον ἇι ὄνομα Διοδώρα τὸ γένος ⟨.⟩ Φρυγίαν, συνευδοκέοντος καὶ | τοῦ ὑοῦ Βαβύλου, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶ||σαν, καθὼς ἐπίστευσε Διοδώρα τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλευ|θέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιέου|σα ὅ κα θέλη καὶ ἀποτρέχουσα οἷς κα θέλη. βεβαιωτὴρ κατὰ τὸν νό|μον τᾶς πόλιος· Ἄθαμβος Ἁβρομάχου. εἰ δέ τίς κα ἐνάπτηται Διοδώ|ρας ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων τὰν ὠνὰν τῶι θεῶι ὅ τε || ἀποδόμενος Ἀνδρομένης καὶ ὁ βεβαιωτὴρ Ἄθαμβος· εἰ δὲ μὴ παρέχοιεν | βέβαιον τὰν ὠνὰν τῶι θεῶι, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. | ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες Διοδώραν ὡς ἐλευ|θέραν ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· | τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ἀνδρόνικος καί οἱ ἄρχοντες Ἀριστίων Ἄγωνος, Πολέμαρχος Πολέμωνος, Εὔδωρος Ἀμύντα καὶ ἰδιῶται Τιμοκλῆς Ἀρχελ|άου, Βάκχιος Ἄγρωνος, Ξενόφαντος Φίλωνος, Πεισίστρατος Βούλωνος, Σωστρα|τίδας, ἀρχιτέκτων Τιμόκριτος Εὐκλείδα.

Auf der Strecke C—D der Polygonalmauer (s. Pomtow, Beitr. Tafel III) war es mir an vier Stellen unmöglich bis zum untersten Rande hinabzukommen, so dass ich die Nummern 1) 45 und 46 (= 1710 und 1711), 2) 79 und 80 (= 1744 und 1745), 3) 145—152 (= 1810—1817) und 4) 171 und 172 (= 1836 und 1837) nicht las. Kaum hatte ich nämlich das

heruntergerutschte Erdreich, das die Stellen verbarg, auswerfen lassen, so schoss es wieder von oben herab, weil es durch fast tägliche Regengüsse durchweicht war. Das war auch der Grund, dass ich mit Abklatschen Not hatte; sie gelangen entweder gar nicht oder nur schlecht. Was ich aus dem für No. 1710 herauslese, der ganz mangelhaft geriet, ist Folgendes:

(Darauf, den Zustand der Inschrift durch Schraffierungen kenntlich zu machen, verzichte ich). — Z. 3 deutlich ΓΕΝΟΣ.. ΡΥΓΙΑΝ. Das *φ* ist auf dem Abklatsche nicht gekommen; nach *γένος* ist Platz für ein Zeichen. Ob da der Stein verletzt war, oder ob ein Zeichen (das Σ oder Φ) dittographisch eingeschlagen wurde, weiss ich nicht. — 4 ΥΟΥ (ohne Jota) ist sicher. — 7 Anfang geben *W.-F.* °|[*σα*], aber der Abklatsch giebt *α* deutlich und selbst Σ lässt sich halbwegs in seinen Hasten erraten. Zwischen dem *λ* und *η* des 2. *θέλη* dieser Zeile ist ein Loch im Steine gewesen, das die Breite von 3/4 Zeichen (= 0,036) hat. In Z. 6, wo es anhebt, umging es der Steinmetz dadurch, dass er zwischen *πάντων* und *τὸν* eine kleinere Lücke liess; von da ab reicht es 0,055, d. h. bis Z. 11 hinab. — 8 ist *δὲ* und *τὶς* durch die Steinverletzung getrennt; das *ἐν* in *ἐν-άπτηται* ist mir unsicher. — 9 Wie in Z. 8 das sichere |*μον*, so ist hier das zweifellose |*ρας ἐπὶ* nicht gekommen. Die Steinverletzung verengert sich in dieser Zeile bis zu 0,015 zwischen *τ* und *ω* von *παρεχόντων* (*W.-F.* nur °*τω*). — 10 Auch hier ist die Lücke nur 0,015, zwischen *η* und *ρ* von *βεβαιωτήρ*, in Z. 11 zwischen *κ* und *α* von *κατά*. — Die Formeln von Z. 12 und 13 lassen sich sehr leicht erraten, wenn auch der Abklatsch hier sehr mangelhaft ist; die Form °*ροι* (*μάρτυροι*) ist mir sicher. — 14 ist zwischen *Ἀνδρόνικος* und *ἄρχοντες* alles weggeblieben. Rechnet man die Zeichenfelder nach, so könnte auch hier, wie am Anfange der Zeile *τοί* (st. *οἱ*, so *W.-F.*) gestanden haben. Am Schlusse steht ΑΓΩ deutlich, aber damit ist die Zeile noch nicht gefüllt; wenigstens haben Z. 13 und 15 noch je 2 Zeichen mehr. Ob auf demselben Platze von Z. 14 noch 1 oder 2 Zeichen standen, kann ich nicht herausbringen; klar ist der Anfang °|*νος* von Z. 15. — In den letzten 3 Zeilen habe ich auf dem Abklatsche nicht wiedergefunden: Z. 15 *Πολέμαρχος Πολέμωνος*, *Τιμο*° von *Τιμοκλῆς*, Z. 16 *Βάκχιος Ἄγρωνος*, *Ξενόφαντος Φίλω*[*νος* klar], *Πεισι*[Ende klar], in Z. 17 sehe ich nur [*τ*]*ίδ*[*ας*] *ἀρχιτέκτω*[*ν*]

Zeit. Priesterschaft V (etwa 156—151).

1711 *W.-F.* 46. Nach einem Abklatsche c. v. B.

Ἄρχοντος Ἀθάμβου τοῦ Ἁβρομάχου μηνὸς Θευξενίου, ἀπέδοτο Ζωΐς Ζωπύρου, | συνευδοκεούσας καὶ τᾶς θυγατέρος Πολυξένας, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Εὐκολίνα τὸ γένος Θρᾷισσαν, τιμᾶς ἀργυρίου μνᾶν δύο, | καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Εὐκολίνα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι||τε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιέουσα ὅ κα θέλη καὶ | ἀποτρέχουσα

οἷς κα θέλῃ. βεβαιωτ[ῆρε]ς κ[ατ]ὰ τὸν νόμον τᾶς πόλιος· Φιλοκράτης Ξέ|νωνος, Τιμόκριτος Εὐκλείδα. εἰ δὲ μὴ παρέχοι βέβαιον τὰν ὠνὰν τῶι θεῶι ἅ τε ἀποδομέ|να Ζωῒς καὶ ἁ θυγάτηρ καὶ οἱ βεβαιωτῆρες Πολυκράτης, Τιμόκριτος, πράκτιμοι ἐόντων | κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμ[οίως δὲ καὶ οἱ] παρατυγχάνοντες κύριοι ἐόντων [συ]||λέοντες Εὐκολίναν ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας | δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ [ἱερ]εῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ἀνδρόνικος καὶ | οἱ [ἄρχο]ντες Ἀριστίων Ἄγωνος, Πολέμαρχος Πολέμωνος, Εὔδωρος καὶ ἰδιῶται Μένη[ς], | Πεισίστρατος, Μενεκράτης Κλεανδρίδα, Ἀλέξανδρος, Τιμόκριτος.

Vgl. die Bemerkung zum Texte von 1710. Schon die Abschrift von *W.-F.* zeigte, dass die Inschrift lückenhaft erhalten ist. Nach meinem Abklatsche zu schliessen, hat sich die Ueberlieferung bedeutend verschlechtert. Von den ersten Hälften der 13 Zeilen kann ich gar nichts wiederfinden. Deutlich ist mir nur: Z. 1 *]μηνὸς Θευξενίου, ἀπέδοτο Ζωῒς Ζωπύρου|*. — 2 *]ρος Πολυξένας, τῶι Ἀπόλλωνι τῶι Πυθίωι|*. — 3 *]λίνα τὸ γένος Θρᾶισσαν, τιμᾶς ἀργυρίου μνᾶν δύ[ο]|*. — 4 *]ολίνα τῶι θεῶι τὰν ὠνάν, [ἐφ᾽ ὧι-]|*. — 5 *] πάντα βίον ποιέουσα ὅ κα θέλ[η καὶ]|*. — 6 *]τᾶς πόλιος· Φιλοκράτης [Ξέ-]|*. — 7 *βέ]βαιον [τὰν ὠ]νὰν τῶι θεῶι ἅ τε ἀπ[οδομέ-]|*. — 8 *]Τιμόκριτος, πράκτιμοι ἐόντ[ων]|*. — 9 *π]αρα[τ]υγχάνοντες κύριοι [ἐόντων συ-]|*. — 10 *] ἐόντες καὶ ἀνυπόδικοι πά[σας]|*. — 11 *] Ἀμύντας Ἀνδρόνικος [καὶ]|*. — 12 *] Εὔδωρος καὶ ἰδιῶται [Μένης]|*. — 13 *Τ]ιμόκρ[ιτ]ος*. Das von mir so mühsam Herausgelesene stimmt Zeichen für Zeichen mit dem Texte bei *W.-F.*

Zeit. Priesterschaft V (etwa 156—151).

1712 *W.-F.* 47. C. v. B.

Στραταγέοντος τῶν Φωκέων Τηλεφά|νεος Δρυμι(έ)ος μηνὸς ἐνάτου, ἐν Δελφοῖς δὲ | ἄ[ρ]χοντος Εὐδώρου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀ|π[έδοτ]ο Καλλίκων Ἡρακλείδα Ἐλατεὺς τῶι Ἀπόλλωνι τῶι Πυ||θίω[ι σ]ῶμα γυναικεῖον ἇι ὄνομα Διονυσία τὸ γένος Αἰγυ|πτίαν, [σ]υνευδοκεόντων καὶ τῶν υἱῶν Ἡρακλείδα καὶ Νικο|βούλο[υ], τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν | ἔχει π[ᾶ]σαν, καθὼς αὐτοὶ εὐδόκησαν, ἐφ᾽ ὧιτε ἐλευθέ|ραν εἶ[μ]εν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα || χρόνον, ποιέουσαν ὅ κα θ[έ]λῃι καὶ ἀποτρέχουσαν | οἷς κα θέλῃι. βεβαιωτῆρες κατὰ τὸν νόμον· Γλαῦκος | Ἡρακλε[ί]δα Δελφός, Διονύσιος Ἀρίστωνος Ἀντικυρεύς. | εἰ δέ τις ἐφάπτοιτο Διονυσίας ἐπὶ καταδουλισσμῶι, | βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀ||ποδ[όμε]νοι καὶ οἱ βεβ[α]ιωτῆρες·

εἰ δὲ μὴ παρέχοιν | τῶι [θε]ῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν | νό[μο]ν τῶν Δελφῶν καὶ κατὰ τὸ σύμβολον τῶν Φωκέων. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | [κ]ύριοι ἐόντων συλέοντες Διονυσίαν ὡς ἐλευθέ||ραν ἐοῦσαν καὶ ἀνέφαπτον ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· τοὶ | ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀνδρόνικος, Πραξίας καὶ τῶν | ἀρχόντων Εὐκλῆς, ἰδιῶται Νικόμαχος, Εὐκλείδας, Ἀστόξενος, Μένης, Μένων, [Κ]αλλεί||δας, Ἀστύοχος.

W.-F. Z. 2 Δρυμ[έος]. — 3 ἄρχοντος. — 4 |[ἀ]πέ[δοτ]ο, aber ἀ steht noch auf Z. 3. — 6 [συ]νευδοκεόντων. — 8 πᾶσαν. — 9 εἶμεν. — 10 θέλῃι. — 12 Ἡρακλείδα. — 13 °δουλισμῶι. — 14 ἀπ[ο]δόμενοι καὶ οἱ βεβαιωτῆρες. — 24 Καλλείδας. — Zu Z. 16 merken *W.-F.* S. 306 an: il faut sous-entendre βέβαιον (vgl. Z. 14). — Beim Ethnikon in Z. 2 vergass, so scheint es, der Steinmetz ε, und ο und ς sind sehr verletzt.

Zeit. Priesterschaft VI (etwa 150— 140).

1713 *W.-F.* 48. C. v. B.

Ἄρχοντος Πεισιθέου μηνὸς Ἰλαίου, βουλευόντων τὰν δευτέ|ραν ἑξάμ[η]νον Ἀγησίλα, Εὐδόκου, Γλαύκου, ἀπέδοτο τῶι θεῶι Ξεναίνετος Π[α]τρώνδα παιδάριον ὧι ὄνομα Ἡράκλειτος, τιμᾶς ἀργυ|ρίου μνᾶς, καθὼς ἐπίστευσε Ἡράκλειτος τῶι θεῶι τὰν ὠνάν, || ὥστε ἐλεύθερος εἶμεν καὶ [ἀ]νέφαπτος τὸν πάντα χρόνον⟨ον⟩. βε|βαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Μνασίας Ἀγαθοκλέος. εἰ δέ τις | καταδουλίζοιτο Ἡράκλειτον, κύ[ρ]ιος ἔστω αὐσαυτὸν συλέων καὶ | ἄλλος ὁ θέλων καὶ ὁ βεβαιωτὴρ βεβαιούτω. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλ|λωνος Ἀνδρόνικος, Πραξίας καὶ οἱ ἄρχοντες Ἀγησίλαος, Εὔδοκος, Γλαῦ||κος, ἰδιῶται μάρτυροι Πο[λ]έων, Καλλικλῆς Τίμωνος, Μνασίας, | Ἑρμαῖος, Ξένων Νίκωνος, Μένης.

W.-F. Z. 2 ἑξάμηνον. — 5 ἀνέφαπτος, dann χρόνον, ohne Angabe der Dittographie. — 6 τὸν νόμον. — 7 κύριος. — 10 Πολύων. — Bemerkenswert ist der gen. Ἀγησίλα (Z. 2) neben dem nom. Ἀγησίλαος (Z. 9 und 1714, 11); vgl. dazu Πεισίλα 2039, 1, aber Πισιλάου 2054, 1 u. a.

Zeit. Priesterschaft VI (etwa 150—140).

1714 *W.-F.* 49. C. v. B.

Ἄρχοντος Πεισιθέου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοντο Βάκχιος Ἄγρω|νος, Ξεναίνα Θεοφράστου, Δρόμων Δρόμωνος, συνευδοκέοντος καὶ | τοῦ υἱοῦ Ἄγρωνος, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον κοράσιον ἇι | ὄνομα Σωφρόνα τὸ

γένος ἐνδογενῆ, τιμᾶς ἀργυρίου μνᾶς, καὶ τὰν τι‖μὰν ἔχοντι, καθὼς ἐπίστευσε Σωφρόνα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὅτωι ἐλευ|θέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων. παραμεινάτω δὲ Σωφρόνα πα|ρὰ Δρόμωνα ἕως οὗ κα ζώη Δρόμων ποιέουσα τὸ ποτιτασσόμενον καὶ δυ|νατὸν πᾶν· εἰ δὲ μὴ πειθαρχέοι Σωφρόνα, κύριος ἔστω Δρόμων ἐπι|τιμέων Σωφρόνα τρόπωι ὧι θέλοι ὡς ἐλευθέρα. βεβαιωτὴρ κα‖τὰ τὸν νόμον· Ἀριστίων Ἄγωνος. μάρτυρες· οἱ ἱερεῖς Πρα|ξίας, Ἀνδρόνικος καὶ οἱ ἄρχοντες Εὔδοκος, Ἀγησίλαος, | ἰδιῶται Καλλε[ί]δας, Τιμόκριτος.

Z. 2 kann man *Δρόμωνος* und *Δρομ[ί]ωνος* lesen, zwischen Μ und Ω ist der Stein verletzt. — Zu Z. 3 merken *W.-F.* S. 306 an: ΑΙ, qui se trouve déjà à la fin de la ligne 3, est répété au commencement de la ligne 4. Diese Bemerkung beruht auf Versehen; nur Ende von 3 steht ΑΙ. — *W.-F.* Z. 12 *Καλλικλῆς* statt *Καλλε[ί]δας*; letzterer auch 1712, 24.

Zeit. Priesterschaft VI (etwa 150—140).

1715 *W.-F.* 50. C. v. B.

Στραταγέοντος [τῶν Φωκέων Κ.....]ος Φανατέος μηνὸς τρίτου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ἀνδρονίκου μηνὸς | Ποιτροπίου, ἐπὶ τ[οῖσδε ἀπέδοτο Ἀγ]αμήστωρ Τελέστα Λιλαιεὺς τῶι Ἀπόλλωνι τῶι Πυθ[ί]ωι σῶμα γυναικεῖον ἇι ὄνομα | Ζωπύρα τὸ γένος Θρ[ᾶισσαν, καὶ σώματ]α ἀνδρεῖα δύο οἷς ὀνόματα Ἀγαμήστωρ, Τελέστας, τὸ γένος οἰκογενεῖς, τιμᾶς ἀργυ|ρίου μνᾶν ἑπτά, καθὼ[ς ἐπίστευσαν] Ζωπύρα, Ἀγαμήστωρ, Τελέστας τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρους εἶμεν καὶ ‖ ἀνε[φά]πτους ἀπὸ πάν[των τὸμ πάν]τα βίον, παραμείναντας ἄχρι κα ζώη Ἀγαμήστωρ. βεβαιωτὴρ κατὰ τὰν συμβολάν· | Πολύγνωτος Πολυξέν[ου] Λιλαιεύς. μάρτυ[ρ]ες· τοὶ ἱερεῖ⟨ει⟩ς Ἀμύντας, Ταραντῖνος καὶ τοὶ ἄρχοντες Καλλίμαχος, | Εὐαγόρας, ἰδ[ι]ῶτα[ι] Μαντί[α]ς Δαμοχάρεος, Κάλλων Λεπτίνα, Σώδαμος Ἀνδροπείθεος, Ἀστύοχος, Ὀρθαγόρας, Ξενοκράτης | Δελφοί, Κα[λ]λίξ[ε]νος Λιλαιεύς. ἁ ὠνὰ παρὰ Ξενοκράτη Δελφὸν καὶ παρὰ Καλλίξενον Λιλαιῆ.

W.-F. Z. 1 *τῶν Φωκέων Κ....,* was jetzt nicht sichtbar; ohne *ος* vor *Φανατέος*. — 2 *ἐπὶ τοῖσδε ἀπέδοτο Ἀγαμήστωρ,* dann *Πυθίωι*. — 3 *Θ[ρᾶι]σσαν καὶ σώματα*. — 4 *καθὼς ἐπίστευ[σαν] Ζωπύρα*. — 5 *ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα βίον*. — 6 *Πολυξένου, μάρτυρες, ἱερεῖς* ohne Angabe der Dittographie. — 7 *ἰδιῶται Μαντίας*. — 8 *Καλλίξενος*. — Zu Z. 7 bemerken *W.-F.* S. 306: *Ξενοκράτης*, qui se lit à la fin de la ligne 7, est répété au

commencement de la ligne 8. Das ist ein Versehen, der Name steht nur Z. 7.

Zeit. Priesterschaft IV (170—157/6).

1716 *W.-F.* 51. C. v. B.

Ἄρχοντος Ἀμφιστράτου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Μικκύλος Λαδίκου τῶι Ἀπόλλωνι [τ]ῶι Πυθίωι σώματα δύο | αις ὀνόματα Σωκράτεια, Σοφία, καὶ τὰ ἐνδύματα π[ά]ντα, ἀργυρίου [μν]ᾶν πέντε, καὶ τὰν τιμὰν ἔχε[ι]. βεβαιωτῆρες· Εὔδοκος | Πραξία, Λέων Ἀρισταγόρα, κατὰ τοὺς νόμους τᾶς πόλ[ι]ος. καθὼς ἐπίστευσαν Σωκρ[ά]τεια καὶ Σοφία τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὅτωι | ἐλευθέρας εἶμεν τὸμ πάντα χρόνον. εἰ δέ τις καταδουλίζοιτο Σωκράτ⟨ι⟩ειαν ἢ Σοφίαν, κύριος ἔστω ὁ παρεντυχὼν συλέων ‖ ἀνυπόδικος ὢν πάσας δίκας καὶ ζαμίας. παραμεινάτω δὲ Σωκράτεια παρὰ Μικκύλον ποιοῦσα ὅ κα ἐπιτάσση Μικκύλος πᾶν τὸ | δυνατόν· εἰ δέ ⟨. . ε⟩ κα μὴ ποῆι, κύριος ἔστω κολάζων. ἐπεὶ δέ κα μεταλλάξη Μικκύλος ὁ Λαδίκου τὸμ βίον, ἐλευθέρα ἔστω Σωκράτεια. | εἰ δέ τις ἐφάπτοιτο, οἵ τε βεβαιωτῆρες βεβαιούντω καὶ ὁ παρατυχὼν κύριος ἔστω συλέων καθὼς ἐπάνω γέγραπται. μάρτυροι· | ὁ ἱερεὺς το[ῦ] Ἀπόλλωνος Ταραντῖνος καὶ οἱ ἄρχοντες Ἄθαμβος, Τελέσαρχος, Ἄσανδρος, ἰδιῶται Εὐαγόρας, Μελισσίων, Ξενόκριτος, | Ἀγησίλαος, Ἐχέφυλος.

W.-F. Z. 1 *τῶι Πυθίωι.* — 2 *πάντα, ἀργυρίου μνᾶν, ἔχει.* — 3 *τᾶς πόλιος,* dann *Σωκράτεια.* — 4 *Σωκράτειαν,* ohne Angabe des Jota nach *τ*. Das Versehen des Steinmetzen ist lehrreich: erst schlug er *ι*, was er sprach, ein, dahinter *ει*, was die herkömmliche Schreibung war; vgl. *ἱ⟨ε⟩αρόν* Verf. „Aus Epidauros" S. 11. — Zu *ἔστω* in Z. 4 ist zu merken, dass der Steinmetz Ω auf ein dittographisches T setzte. — In Z. 6 ist nach *εἰ δέ* eine Dittographie von 3 Zeichen ausgeschlagen; nur das 3. Zeichen E blieb sichtbar. — *W.-F.* Z. 6 *ποιῇ* statt *ποῆι.* — 8 *τοῦ Ἀπόλλωνος.*

Zeit. Priesterschaft IV (170—157/6).

1717 *W.-F.* 52. *Ditt.* 466 C. v. B.

Ἄρχοντος Ἀμφιστράτου μηνὸς Ἡρακλείου, ἐπὶ τοῖσδε ἀπέδοντο [Κα]λλίστρατος Μαντία, Θαύμιον Κλέωνος, συνεπαι|νέοντος τοῦ υἱοῦ [Ε]ὐκλέ[ος], τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα [γ]υναικεῖον ᾇ ὄνομα Ἀφροδισία τὸ γένος Σύραν, τιμᾶς | ἀργυρίου μνᾶν τριῶν. βε[βαι]ωτὴρ κατὰ τὸν νόμον· Ἀστύοχος Γνωσίλα. παραμεινάτω δὲ Ἀφροδισία παρὰ Καλλίστρατον |

καὶ Θαύ[μ]ιον ἄχρι οὗ κα ζώω[ν]τι, ποέουσα τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως. εἰ δέ τί κα πάθων[τ]ι Καλλίστρατος ‖ καὶ Θαύμιον, ἀποδότω Ἀφροδ[ι]σία Εὐκλεῖ ἀργυρίου μνᾶν κ[αὶ] ἐλε[υ]θέρα ἔστω, καθὼς ἐπίστευσε Ἀφροδισία τῶι θεῶι | τὰν ὠ[νάν], ἐφ' ὧιτε ἐλευθέρα εἶμ[εν κ]αὶ ἀνέφαπτος ἀπὸ πάντω[ν]. εἰ δὲ πρότερον θέλοι Ἀφροδισία ἀπολύεσθαι ἀπὸ Καλλιστράτου | καὶ Θα[υμί]ου ζωόντων, ἀντιπρι[άσ]θω Ἀφροδισία Καλλιστράτω[ι κ]αὶ Θαυμίωι σῶμα γυν[α]ικεῖον τὰν αὐτὰν ἁλικίαν | ἔχον· εἰ δ[ὲ] μὴ ποέοι Ἀφροδισία τ[ὸ πο]τιτασσόμενον δυνατὰ ἐοῦσα [ἢ μ]ὴ παραμένοι, ἐξουσίαν ἐχόντω [Θ]αύμιον καὶ | Καλλίστρατος κολάζειν ὧι κα θ[έ]λωντι τρόπωι. ἐπεὶ δέ κα τελευτάσωντι Καλλίστρατος καὶ Θαύμιον καὶ ἀποδώη ‖ Ἀφροδισία Εὐκλεῖ τὰμ μνᾶν ἢ πρότερον ἀντιπριάηται τὸ σῶμα, καὶ ἅπτηταί τις Ἀφροδισίας ἐπὶ κ[α]ταδουλισμῶι, βέ|⟨βε⟩βαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀποδόμενοι ἢ οἱ ἐπίνομοι καὶ ὁ βεβαιωτὴρ Ἀστύοχος, καὶ ὁμοίως κύριος | ἔστω ὁ παρατυχὼ[ν] συλέων Ἀφροδισίαν ὡς ἐλευθέραν οὖσαν ἀζάμιος ὢν καὶ ἀνυπ[όδ]ικος πάσας δίκας καὶ ζαμίας. | μάρτυ⟨τ⟩ρες· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἀμύντας καὶ τῶν ἀρχόντων Τελέσαρχος, ἰδιῶται Βούλων, Μαντίας Δαμο|χάρεος, Ἀμεινίας.

Z. 1 ist über ΕΠΙΟΙΣ° das τ nachgetragen. — *W.-F.* Z. 1 [*Κ*]*αλλίστρατος*. — 2 *Εὐκλέος*, *γυναικεῖον*. — 3 *βεβαιωτήρ*. — 4 *Θαύμιον*, *ζώωντι*, *πάθωντι*. — 5 *Ἀφροδισία*, *καὶ ἐλευθέρα*. — 6 *τὰν ὠνάν*, *εἶμεν καί*, *πάντων*. Zwischen *ὧτε* und *ὧιτε* kann man schwanken. — *W.-F.* 7 *Θαυμίου*, *Καλλιστράτωι καὶ Θαυμίωι σῶμα γυναικεῖον*. — 8 *ἢ μή*, *ἐξουσίαν ἐχόντω Θαύμιον*. — 9 *θέλωντι*. — 10 *καταδουλισμῶι*. — 10/11 *βέ-βαιον*, ohne Angabe der Dittographie. — 12 *παρατυχών*, *ἀνυπόδικος*. — 13 *μάρτυρες*, mit Angabe des Versehens auf S. 306. — Alles lehrt, dass diese Inschrift seit *W.-F.* sehr gelitten hat.

Zeit. Priesterschaft IV (170—157/6); auf gleichem Polygon wie 1715 und 1716, und zwar unmittelbar hinter ihnen. Vgl. 1717, 13 mit 1716, 8.

1718 *W.-F.* 53. *Ditt.* 465. C. v. B.

Στραταγέοντος τῶν Φωκέων Καλ[λ]ικράτεος [Ἐ]λατέος μηνὸς ἕκτου, ἐν δὲ Δελφοῖς ἄρχοντος Ἄρχωνος τοῦ Καλ|λία μηνὸς Θεοξενίου, ἐπὶ τοῖσδε ἀ[π]έδοτο Ἐπ[ιχα]ρίδας Εὐδάμου Λιλαιεύς, συνευδοκεούσας καὶ τᾶς ματρὸς αὐτοῦ | Ἀριστοκρατείας, τῶι Ἀπόλ[λ]ωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἀσία τὸ γένος Σύραν, τιμᾶς ἀργυ|ρίου μνᾶν τριῶν καὶ ἡμιμναίου, καθὼς ἐπίστευσε Ἀσία τῶι θεῶι τὰν ὠνάν, ἐφ'

ὥστε ἐλευθέραν ‖ εἶμεν οἰκέουσαν [ἐ]ν Λιλαί⟨αι⟩αι καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸμ πάντα βίον, ποιοῦσαν ὅ κα | θέλῃ. βεβαιωτῆρες κατὰ τ[ὰ]ν συμβολάν· Διόδωρος Ἡράκωνος, Τιμοκλῆς Θρασέα Δελφοί. εἰ δέ τις | ἅπτοιτο Ἀσίας ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἐπι|χαρίδας καὶ οἱ βεβαιωτῆρες Διόδωρος καὶ Τιμοκλῆς· εἰ δέ κα μὴ παρέχωντι τὰν ὠνὰν βέβαιον τῶι θεῶι, πράκτιμοι ἐόντω κατὰ τὰν συμβολὰν καὶ κατοὺς νόμους, καὶ ὁμοίως κύριοι ἐόντω συλέοντες οἱ παρα‖τυγχάνοντες Ἀσ[ία]ν ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζ[α]μίας. μὴ οἰκησάτω δὲ Ἀσία ἔξω | Λιλαίας μηδὲ πολιτευσάτω ἄνευ τᾶς Ἐπιχαρίδα γνώμας· εἰ δὲ οἰκήσαι ἢ πολιτεύσαιτο, ἄκ[υρ]ος αὐτᾶς | ἔστω ἁ ὠνὰ καὶ ἀτελής. ὡσα[ύτω]ς δὲ μηδὲ ἀπαλλοτριωσάτω Ἀσία [εἴ] τί κα ἐπεργάζηται ἀπὸ Ἐπιχα|ρίδα ἢ τῶν ἐπινόμων αὐτοῦ κατὰ μηδένα τρόπον· εἰ δὲ ἀπαλλοτριωοίη ⟨δε⟩ καθ' ὁποῖον τρόπον, ἄκυρος αὐτᾶς ἁ ὠνὰ ἔστω, καθὼς καὶ ἐπάνω γέγραπται. ἐπεὶ δέ κα τελευτάσῃ Ἀσία, τὰ ὑπάρχον‖τα αὐτᾶς πάντα ἔστων Ἐπιχαρίδα ἢ τῶν ἐπινόμων αὐτοῦ. μάρτυρες· οἱ ἄρχοντες Κλέων | Δαμοσθένεος, Νίκαρχος Ἐράτωνος, Ἁγίων Ἐχεφύλου, ἰδιῶται Μαντίας Δαμοχάρεος, Ἀρχέλαος | Πυθοφά[ν]εος, Μαντίας Φιλαιτώλου, Δέξιππος Νικαίου Δελφοί, Καφίσων Εὐκλείδα, | Στράτων Εὐάρχου Λιλαιεῖς. ἁ ὠνὰ παρὰ μὲν Φωκῇ Καφίσωνα Εὐκλείδα | Λιλαιῇ, παρὰ δὲ Δελφὸν Μαντίαν Δαμοχάρεος.

W.-F. Z. 1 *Καλλικράτεος.* — 2 *ἀπέδοτο Ἐπιχαρίδας.* — 3 *Ἀπόλλωνι.* — 5 *ἐν Λιλαίαι.* Bei letzterem Worte versah sich der Steinmetz: nach ΛΙΛΑΙ ist die Dittographie ΑΙ ausgeschlagen und der Stein geglättet; nach einem kleinen Bruche folgt die Endung ΑΙ. — In Z. 6 ist nach *κατὰ* ausgeglätteter Raum für 2 Zeichen zu sehen. Der Steinmetz hatte offenbar *κατατα* eingeschlagen. — *W.-F.* Z. 6 *κατὰ τὰν.* — 9 *κα[τὰ] τοὺς νόμους* — Stein ΚΑΤΟΥΣ. — 7 ist nach *ἅπτοιτο* unbenutzter Raum für 3 Zeichen. — 10 ist über *ὡς,* das die Zeile beginnt, und das Folgende das ursprünglich übergangene *τυγχάνοντες Ἀσίαν* nachgetragen. — *W.-F.* 10 *ζαμίας.* — 11 *ἄκυρος.* — 12 *ὡσαύτως,* dann *εἴ τί κα.* — 14 *κα* statt *καί* vor *ἐπάνω.* — 17 *Πυθοφάνεος.* — 18 nach *Καφίσωνα* ein sinnstörendes Komma; denn *Εὐκλείδα* ist Vatersname zu *Καφίσωνα.* Nach *Εὐκλείδα* ist ein kleiner unbeschriebener Raum bis zum Rande, in den man nicht *ν* einsetzen darf. Also auf der einen Seite hat *Καφίσων Εὐκλείδα* (s. Z. 17) die *ὠνά*; er ist *Φωκεύς,* und zwar *Λιλαιεύς.* — *W.-F.* 19 *Μαντία.* — Die Z. 14 und 19 genannten Fehler corrigierte schon *Dittenberger* a. a. O — Eine Schwierigkeit steckt noch in Z. 13. Der Stein hat ΑΠΑΛΛΟΤΡΙΩΟ.ΗΔΕΚΑ°. Wegen der Präsensform denke ich nicht an °*ωοίη* (*ἤ*)*δη,* sondern halte dafür, dass

der Steinmetz in seiner Vorlage abirrte und das vorhergehende δέ nochmals einschlug, statt beider aber nur das letztere Zeichen tilgte. Zum Verbum vgl. 1684, 8 *ἀπαλλοτριώουσα*. Ich übersetze Z. 12 ff.: „Desgleichen soll Asia auch nichts von dem veräussern dürfen, was sie als Eigentum des E. und seiner Erben bebaut; wenn sie's aber irgend thut, sei ihr Loskauf ungiltig“. — Zu Z. 14 ff. vgl. 1817, 5.

Zeit. Priesterschaft IV (170—157/6); auf gleichem Polygon wie 1715—1717 und unmittelbar hinter ihnen. Vgl. 1722, 1838 u. 1839, 14/15

1719 *W.-F.* 54 *Cauer* 215. C. v. B.

Ἄρχοντος ἐν Ἐρινεῶι Ἀντιμάχου μηνὸς Λαφρίου, ἐν Δελφοῖς | δὲ ἄρχοντος Ἀνδρονίκου τοῦ Φρικίδα μηνὸς Θευξενίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Μνασίξενος Πηλεκλέα Ἐριναῖος τῶι | Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνομα Νικὼ τὸ || γένος Θρᾶισ(σ)αν, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε | Νικὼ τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὥιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφα|πτον ἀπὸ πάντων τὸν πάντα βίον. βεβαιωτῆρες κατὰ τὸν νόμον· | Νικέας Σωσιξένου Δελφός, Νικόμαχος Δεξίππου Δελφός. παραμεινάτω δὲ Νικὼ παρὰ Μνασίξενον, ἄχρι κα | ζώῃ Μνασίξενος, καὶ ἐκθρεψάτω παιδάρια δύο ἀδόλως καὶ τὰ λοιπὰ ποιοῦσα τὸ ποτιτασσόμενον || πᾶν τὸ δυνατὸν ἀνεγκλήτως. εἰ δέ τί κα μὴ ποιήσῃ Νικὼ τῶν ποτιτασσομένων ὑπὸ Μνασιξένου, καθὼς | γέγραπται, δυνατὰ ἐοῦσα, ἐξέστω Μνασιξένω κολάζειν καθώς κα αὐτὸς θέλῃ καὶ ἄλ(λ)ω ὑπὲρ Μνασίξε|νου ὃν κα Μνασίξενος κελεύσῃ, ἀζαμίοις ὄντοις καὶ ἀνυποδίκοις πάσας δίκας καὶ ζαμίας. εἰ δέ τί κα πάθῃ Μνασίξενος, ἐλευθέρα ἔστω Νικὼ κυριεύουσα αὐτοσαυτᾶς καὶ ποιοῦσα ὅ κα θέλῃι καὶ ἀποτρέχουσα οἷς κα θέ|λῃι, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται ἐπὶ καταδουλισμῶι Μνασιξένου τελευτάσαντος, || βέβαιον παρεχόντων οἱ βεβαιωτῆρες τῶι θεῶι τὰν ὠνὰν κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | κύριοι ἐόντων συλέοντες ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. | μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος καὶ τῶν ἀρχόντων Νικόμαχος, ἰδιῶται Ξεναγόρας, Εὐκλεί|δας, Μένης, Κάρπος Δελφοί, Ξενίας, Καλλίερος, Καλλίστρατος Ἀμφισσεῖς. ἁ συγγραφὰ παρ' Εὐκλείδαν.

Das Original hat wirklich Z. 5 Θρᾶισαν, Z. 11 ΑΛΩ, *W.-F.* geben dort Θρᾶισαν, hier ἄλ[λ]ῳ. — Sowohl Z. 13 als 14 steht θέλῃι; bei *W.-F.* fehlt Jota adscr. in Z. 13. — Zu Z. 9 vgl. 1425, 5. — Zur Namensform Πηλεκλέα vgl. böot. Πειλεστροτίδας Θειβῆος 1137. — Z. 14 fehlt der gen. zu ἅπτηται.

Zeit. Priesterschaft IV (170—157/6).

1720 *W.-F.* 55. C. v. B.

Ἄρχοντος ἐν Δελφοῖς Ἀνδρονίκου τοῦ Φρικίδα μηνὸς Ἐνδυσποιτροπίου, ἐν δὲ Θεσσαλίαι στραταγέον|τος Δαμοθοίνου μηνὸς Θύου ὡς Θεσσαλοὶ ἄγοντι, ἀπέδοτο Εὐκλείδας Θεοδότου Γυρτώνιος σῶμα ἀνδρεῖον ὧι ὄνομα | Ἀλέξανδρος, ὃν εἶχε ἐν τᾶι ὠνᾶι πάπον, τὸ γένος Μακεδόνα, τῶι Ἀπόλλωνι τῶι Πυθίωι, τιμᾶς ἀργυρίου μνᾶν τεσσά|ρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Ἀλέξανδρος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὅτωι ἐλεύθερος ἔσται ‖ καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιῶν ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέλη. βεβαιωτῆρες | κατὰ τοὺς νόμους· Ἄλεξις Δαμοτέλεος Δελφός, Ἀγέπολις Εὐετήρου Θεσσαλὸς ἐκ Γυρτῶνος. εἰ δέ | τις ἐφάπτοιτο Ἀλεξάνδρου ἐπὶ καταδουλισμῶ, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμε|νος Εὐκλείδας καὶ οἱ βεβαιωτῆρες Ἄλεξις καὶ Ἀγέπολις· εἰ δὲ μὴ παρέχοιεν, ὑπόδικοι ἔστωσαν κατὰ | τοὺς νόμους. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντω συλέοντες ὡς ἐλεύθερον ὄντα Ἀλέξαν‖δρον ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, | Ταραντῖνος καὶ τῶν ἀρχόντων Ἄθαμβος Ἁβρομάχου, Ἄρχων Καλλία, ἰδιῶται Βούλων, Εὐκλείδας, Πραξίας, | Βάκχιος, Ἀρίστων, Καλλίμαχος, Διονύσιος, Τιμόκριτος, Ἀνδρόνικος, Νικέας, Φίλαγρος, Ἀσιόξενος, Ἀντι|κράτης Φιλοξένου Λαρισαῖος.

W.-F. Z. 4 *ἐφ' ὧιτε.* — 6 *Εὐκτήρου*, zur Schreibung *Εὐετήρου* vgl. *Φιλ-ετήρ[ιος]* GDI. 476, 39. — 3 Stein *παπον.* Wohl *πάπ(π)ον* (vgl. *παπίας*) *Εὐ.* mag an *Ἀ.* einen *παιδαγωγός τε καὶ τροφεύς* (vgl. 1719, 8) gehabt haben, gleichsam ein *παππίδιον.*

Zeit. Priesterschaft IV (170—157/6).

1721 *W.-F.* 56. C. v. B.

Ἄρχοντος Ἀμφιστράτου μηνὸς Ἀπελλαίου, ἀπέδοτο Κρατὼ Μεσατέος | τῶι Ἀπόλλωνι τῶι Πυθίωι παιδάριον ἐνδογενὲς ὧι ὄνομα Σωσικράτης, καθὼς | ἐπίστευσε τὰν ὠνὰν τῶι θεῶι Σωσικράτης, τιμᾶς ἀργυρίου μνᾶν δύο, καὶ τὰ|ν τιμὰν ἔχει πᾶσαν. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Εὐάγγελος Πά‖τρωνος. παραμεινάτω δὲ Σωσικράτης παρὰ Κρατὼ ποιῶν τὸ ποιτασσόμενον πᾶν, | ἄχρι οὗ κα ζώη Κρατώ· εἰ δὲ μὴ παραμείναι καθὼς γέγραπται, ἄκυρος καὶ ἀτελὴς ἁ | ὠνὰ ἔστω. μάρτυροι· Ἰατάδας, Ἀριστίων, Φιλαίτωλος.

W.-F. geben Z. 5 *ποτι-* st. *ποιτασσόμενον.* — Die Namensform *Μεσατεύς* Z. 1 auch 1708, 33; zu *Ἰατάδας* s. 1705, 14. — *Κρατώ* auch 1911, 1.

Zeit. Priesterschaft IV (170—157/6); auf gleichem Polygon wie 1719 und 1720 und unmittelbar hinter ihnen. Vgl. 1702, 12/13.

1722 *W.-F.* 57. C. v. B.

Ἄρχοντος Ἄρχωνος τοῦ Καλλία μηνὸς Ἐνδυσποιτροπίου, ἀπέδοτο Ἀ|τισίδας Ὀρθαίου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώματα γυναικεῖα τρία αἷς ὀ|νόματα Ἀντιγόνα τὸ γένος Ἰουδαίαν καὶ τὰς θυγατέρας αὐτᾶς Θεοδώραν | καὶ Δωροθέαν, τιμᾶς ἀργυρίου μνᾶν ἑπτά, καὶ τὰν τιμὰν ἔχει πᾶσαν. βεβαι‖ωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Εὔδοκος Πραξία Δελφός. καθὼς ἐπί|στευσε Ἀντιγόνα καὶ Θευδώρα καὶ Δωροθέα τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐ|λεύθεραι εἶμεν καὶ ἀνέφαπτοι ἀπὸ πάντων τὸν πάντα βίον. εἰ δέ τις ἅπτοι|το ἐπὶ καταδουλισμῶι αὐτᾶν, βέβαιον παρεχέτω ὅ τε ἀποδόμενος Ἀτει|σίδας καὶ ὁ βεβαιωτὴρ Εὔδοκος· εἰ δὲ μὴ παρέχοιν βέβαιον τὰν ὠνὰν τῶι ‖ θεῶι ὅ τε ἀποδόμενος καὶ ὁ βεβαιωτήρ, πράκτιμοι ἐόντω κατὰ τὸν νόμον. | ὁμοίως δὲ καὶ οἱ παρα[τ]υγχάνοντες κύριοι ἐόντω συλέοντες | αὐτὰς ὡς ἐλευθέρας ἐούσας ἀζάμιοι ἐόντες καὶ | ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· ὁ ἱε|ρεὺς τοῦ Ἀπόλλωνος Ἀμύντας καὶ οἱ ἄρχοντες ‖ Νίκαρχος, Κλέων Δαμοσθένεος, Ἁγίων Ἐκεφύλου, | ἰδιῶται Ἄρχων Νικοβούλου, Εὔδωρος Ἀμύντα.

W.-F. corrigieren selbst auf S. 313 in Z. 5 *Πραξία* statt *Πραξίδα*; sie geben Z. 8 *Ἀτισίδας*, offenbar um der Uebereinstimmung willen mit Z. 1, aber der Text der Inschrift giebt *Ἀτισ°* und *Ἀτεισίδας* neben einander, wie *Θεόδωραν* (Z. 3) und *Θευδώρα* (Z. 6). — *W.-F.* Z. 11 noch voll *παρατυγχάνοντες*. — 15 *Ἵππαρχος* statt *Νίκαρχος*. Vgl. die Archonten in 1718, 16.

Zeit. Priesterschaft IV (170—157/6); auf gleichem Polygon wie 1719 und 1720, und unmittelbar vor der von 1723 bis 1729 reichenden Reihe, deren Nummern sämmtlich aus Priesterschaft IV sind. Vgl. 1718; 1839, 14/15.

1723 *W.-F.* 58. C. v. B.

Ἄρχοντος Κλέωνος μηνὸς Ποιτροπίου, | [ἐ]πὶ τοῖσδε ἀπέδοτο Νικὼ Ἀθανίωνος τοῖ Ἀ|πόλλωνι τοῖ Πυθίοι σῶμα ἀνδρεῖον ὧι ὄνομα Φαι|νέας, τειμᾶς ἀργυρίου μνᾶν πέντε, καὶ τὰν τειμὰν ‖ ἔχει, καθὼς διεπίστευσαν Φαινέας καὶ Ἀπολλόδω|ρος ὁ Σωπάτρου τῶι θεῶι τὰν ὠνάν, ὥστε παραμεῖναι | Φαινέαν παρὰ Ἀπολλόδωρον, ἕως κα ζῇ Ἀπολλόδωρος, | καὶ γηροτροφῆσαι Φαινέαν Ἀπολλόδωρον τὸν Σωπάτρου, | ἐπεὶ ἔδωκε Ἀπολλόδωρος ὑπὲρ Φαινέαν Νικοῖ τὰς πέντε | μνᾶς.

ποείτω δὲ Φαινέας Ἀπολλοδώροι πάντα τὰ δυνατὰ ἀ||νεκκλήτως καὶ νυκτὸς καὶ ἁμέρας, καὶ μὴ ἐγκαταλιπέτω Φαινέ|ας Ἀπολλόδωρον μηδεμίαι παρευρέσει· εἰ δὲ μή, ἀγώγιμος ἔστω| Φαινέας πανταχόθεν ἐκ⟨κ⟩ πάσας πόλιος καὶ ἱεροῦ Ἀπολλοδώροι καὶ ἵ | κά τινι ἄλλοι συντάξη Ἀπολλόδωρος, καὶ ἐξέστω Ἀπολλοδώροι || καὶ ἄλλοι ὑπὲρ Ἀπολλόδωρον ὅν κα Ἀπολλόδωρος κελεύση κολάζειν | Φαινέαν τρόποι οἷ κα θέλωσιν· ἵ τι ἁλίσκοιτο Φαινέας κακοτεχνῶν καὶ | μὴ ποιῶν τὰ γεγραμμένα, πλὰν μὴ πωλησάτω Ἀπολλόδωρος Φαινέαν. | ἐπεὶ δέ κα γηροτροφήση Φαινέας Ἀπολλόδωρον ἀνεκκλήτως καὶ θάψη καὶ τὰ νο|μιζόμενα πόηση πάντα ὅσα νομίζεται τοῖς τεθνακόιοις, ἐλεύθερος ἔσ[τω] καὶ || ἵ τις ἐφάπτοιτο Φαινέα, κύριος ἔστω συλέων αὐσαυτὸν καὶ ἄλλος ὁ θέλων ἀ[ζ]άμιοι ὄν|τες καὶ ἀνυπόδικοι. βεβαιωτῆρες κατὰ τὸν νόμον· οἱ Νικοῦς υἱοὶ καὶ Ἀρίστωνος Δαμοφάνης, | Ἀθανίων. μάρτυρες· οἱ ἱε[ρεῖς] τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος, ἰδιῶται Ἀλέξων, Εὐκ[(λ)]είδας, | Πάτρων, Ἀριστόλαος.

Die Nummern 1723—1729 sind mit grösseren und tieferen Zeichen eingeschlagen: H. 0,01, während die vorhergehenden nur 0,007—0,008 messen, die in No. 1730 sogar nur 0,005.

W.-F. Z. 2 *ἐπί.* — 9 *τᾶς πέντε.* — 10 *ποιείτω, Ἀπολλοδώρωι.* — 13 *ἐκ πάσας* (vgl. Ditt. 143, 40 *ἐκκ τῶν ἰδίων*) — Für den Uebergang von Z. 13/14 geben *W.-F.*, was lückenhaft, *καί κά τινι*; die Z. 13 schliesst aber KAI!, also *καὶ ἵ* (s. Z. 16, 20). — Das *ν ἐφελκ.* in Z. 16 (*θέλωσιν*) fand ich bestätigt. — 18 steht wie Z. 10/11 *ἀνεκκλήτως* (vgl. 1729, 11), *W.-F. ἀνεγκλήτως* in Z. 18. — 19 *ἔστω.* — 20 ohne *ἄλλος* vor *ὁ θέλων*, dann *ἀζάμιοι.* — 22 *ἱερεῖς*, *Ἀλεξίων* (vgl. 1729, 20), *Εὐκλείδας*, der Stein hat °ΚΔ°. — Zu dem besonderen Falle der *παραμονά* vgl. 1694.

10 Casus auf *-οι* stehen (vgl. zu 1724, 1726, 1729) gegenüber *ὧι* (Z. 3) und *τῶι θεῶι* (Z. 6). — Die Inconsequenz in Schreibungen wie 10 *ποείτω*, 17 *ποιῶν*, 19 *πόηση* findet sich auch anderwärts, s. Index; auffällig hier auch *τειμᾶς* und *τειμάν* in Z. 4 gegenüber *Νικώ* Z. 1, *Νικοῖ* 9, *Νικοῦς* 21.

Zeit. Priesterschaft IV (170—157/6).

1724 *W.-F.* 59. C. v. B.

Ἄρχοντος Κλέωνος τοῦ Δίωνος μηνὸς Δαιδαφορίου, ἐπὶ τοῖσδε ἀπέ|δοτο Σώτιμος Μένωνος Δελφὸς τῶι Ἀπόλλωνι τοῖ Πυθίοι σῶμα γυναικεῖον ἇι ὄνομα Φίλα τὸ γένος | Σαρμάτισσ[α]ν, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχει, καθὼς ἐπίστευσε τῶι θεῶι | Φίλα τὰν ὠνάν, ἐφ' ὧιτε αὐτὰν εἶμεν ἐλευθέραν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα

βίον, ποεοῦσαι ὅ κα || θέλῃ καὶ ἀποτρεχοῦσαι οἷς κα θέλῃ. βεβαιωτήρ· Κλέανδρος Τείσωνος. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ταραν|τῖνος, Ἀμύντας· Καλλίερος, Πάτρων, Ξενοκράτης, Καλλίστρατος, Δαμοκράτης, [Β]ούλων, Σωσίας, Δαμοσθένης.

Wegen der Zeichen s. zu 1723.

W.-F. Z. 2 Σαρμάτισσαν. 4 ποέουσαι. — 5 ἀποτρέχουσαι. Der Steinmetz, dem eine Wendung wie ἔστω, ἐξέστω, ἐξουσία ἔστω vorschwebte, meinte natürlich ποεοῦσαι und ἀποτρεχοῦσαι; vgl. solche Mischungen der Formeln in 1778, 6; 1918, 12.

Dem τοῖ Πυθίοι (Z. 2) steht 2 τῶι, 3 τῶι θεῶι und 4 ὧιτε gegenüber, s. 1723, 1726, 1729. — Σώτιμος s. 1917, 9/10.

Zeit. Priesterschaft IV (170–157/6).

1725 *W.-F.* 60. C. v. B.

Ἄρχοντος Ξενέα μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Νεοπάτρα Ὀρθαίου Δελφὶς τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Λύσιππος, τιμᾶς ἀργυρίου μνᾶν τριῶν καὶ ἡμιμναίου, καθὼς ἐπί|στευσε Λύσιππος τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλεύθερον εἶμεν αὐτὸν καὶ ἀνέφαπτον. βεβαιωτὴρ κατὰ | τὸν νόμον· Δαμένης Ὀρέστα Δελφός. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ταραντῖνος, Ἀμύν||τας καὶ οἱ ἄρχοντες Ἀριστοκράτης, Ἀρχίας, Δαμοφάνης, ἰδιῶται Φίλαγρος Διοδώρου, | Εὐδαμίδας, Στράτων Φιλοδάμου.

Wegen der Zeichen s. zu 1723.

Zum Texte bei *W.-F.* ist nichts hinzuzufügen.

Zeit. Priesterschaft IV (170–157/6).

1726 *W.-F.* 61. C. v. B.

Ἄρχοντος Ξενέα μηνὸς Δαιδαφορίου, ἐπὶ τοῖ[σ]δε ἀπέδοτο Μικκύλος Λαδίκου Χαλειεὺς τοῖ Ἀπόλλωνι τ[οῖ Π]υθίοι σῶμα γυ|ναικεῖον οἷ ὄνομα Λυσώ, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει, καθὼς αὐτὰ ἐπίστευσ[ε] Λυσὼ τοῖ θεοῖ τὰν | ὠνάν, εὐδοκεούσας τᾶς θυγατρὸς αὐτοῦ Δρακοντίδος. παραμεινάτω δὲ Λυσὼ παρὰ Μικκύλον ἕως κα ζῇ ποέουσα τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατόν. εἰ δέ κα ἢ μὴ παραμένῃ ἢ μὴ ποῇ τὸ ποτιτασσόμενον Λυσὼ Μικκύλοι, κύριος ἔ||στω κολάζων ὥς κα θέλῃ. εἰ δέ τί κα πάθῃ Μικκύλος, ἐλευθέρα ἔστω Λυσὼ καὶ ἀνέφαπτος τὸν πάντα χρόνον ἀπὸ | πάντων. βεβαιωτὴρ κατὰ τὸ σύνβολον· Σωσίνεικος Εὐδόκου Δελφός.

κύριος δὲ ἔστω καὶ ἄλλος ὁ παρατυγχάνων προιστάμενος ἐπ' ἐλευθερίαι ἀζάμιος ἐὼν καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας πάσας. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλ|λωνος Ταραντῖνος, Ἀμύντας καὶ οἱ ἄρχοντες Ἀριστοκράτης, Ἀρχίας, Δαμοφάνης, ἰδιῶται Εὔδοκος, | Πραξίας, Φίλων, Ἀρχέλαος.

Wegen der Zeichen s. zu 1723.

W.-F. Z. 1 τοῖσδε, dann [τοῖ] Πυθίοι. — 2 lassen sie αὐτά vor ἐπίστευσ[ε] ganz weg. — 3 θυγατέρος αὐτοῦ Δ[ρ]ακοντίδος. — 6 Σωσίνικος statt °νεικος. — 8 Εὔδικος statt °δοκος, offenbar derselbe, der 1722, 5, 9 Zeuge ist. Hier ist er mit seinem Vater, der nach ihm genannt wird, Zeuge, während sein Sohn Σωσίνεικος für Λυσώ die Bürgschaft übernimmt, so dass unsere No. 1726 den Sohn, Vater und Grossvater eines Geschlechtes nennt. S. Pomtow, Fleck. Jahrb. 1889, 560. Für die Dative Sg. der 2. Decl. begegnen durchgängig Formen auf -οι, Z. 1 τοῖ, τ[οῖ] [Π]υθίοι, 2 οἷ, τοῖ θεοῖ, 3 Μικκύλοι; vgl. zu 1723, 1724. Zu beachten daneben die Schreibungen Σωσίνεικος (Z. 6), σύνβολον (Z. 6).

Zur Phrase προιστάμενος ἐπ' ἐλευθερίαι vgl. 1938, 17/19.

Zeit. Priesterschaft IV (170—157/6).

1727 *W.-F.* 62 C. v. B.

[Σ]τραταγέοντος τῶν Φωκέων Ἀριστοτέλεος τοῦ Ἀριστάρχου μ[η]νὸς πρώτου, ἐν δὲ Δελφοῖς ἄρχοντος Ξενέα | τοῦ Βαβύλου μηνὸς Ἡραίου, ἐπὶ τοῖσδε ἀπέδοτ[ο Ἀ]ριστέας Ἀριστοδάμου Στίριος τῶι Ἀπόλλωνι τῶι Πυθίωι | σῶμα ἀνδρεῖον ὧι ὄνομα Πρῶτος Π[ρ]ώτου τὸ γένος Σειδώνιον, τιμᾶς ἀργυρίου μνᾶν ὀκτώ, καὶ τὰν τιμὰν | ἔχει πᾶσαν, καθὼς ἐπίστε[υ]σε Πρῶτος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερον εἶμεν καὶ ἀνέφαπτον || ἀπὸ πάντων τὸν πάντα βίον, ποιοῦντα ὅ κα θέλη καὶ ἀποτρέχοντα οἷ κα θέλη. βεβαιωτῆρες | κατὰ τοὺς νόμους τᾶς πόλιος· Δαμένης Ὀρέστα Δελφός, Ἀρχιάδας Ἀριστέα Στίριος. βέ|βαιον δὲ παρεχέτωσαν ὅ τε ἀποδόμενος καὶ οἱ βεβαιωτῆρες τὰν ὠνὰν κατὰ τοὺς νόμους | τᾶς πόλιος. κύριος δὲ ἔστω Πρῶτος αὐτοσεαυτὸν συλέων καὶ οἱ παρατυγχάνοντες | ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· οἱ (ἱ)ερεῖς τοῦ Ἀπόλ||λωνος Ἀμύντας, Ταραντῖνος καὶ οἱ ἄρχοντες Ἀριστοκράτης, Ἀρχίας, Δαμοφάνης, | ἰδιῶται Δίων Ἀριστοβούλου, Ἥρυς Πισιθέου, Κ[α]λλίερος, Σώδαμος Θευδώρου | Λιλαιεύς, Ἀστόξενος Διονυσίου.

Wegen der Zeichen s. zu 1723.

W.-F. Z. 1 στραταγέοντος, dann μηνός. — 2 ἀπέδοτο Ἀριστέας. — 3 Πρῶτος

Πρώτου. — 4 *ἐπίστευσε.* — 5 *ο[ἷς] κα θέλῃ* — Stein ΟΙΚΑ. — 8 *αὐτὸς ἑαυτοῦ* st. °*τόν.* — 9 *οἱ ἱερεῖς*, sieht aber auf dem Steine wie *οἱ (ἱ)ερεῖς* aus. — 11 *Καλλίερος.*

Zeit. Priesterschaft IV (170—157/6).

1728 *W.-F.* 63. C. v. B.

Στραταγέοντος τῶν Φωκέων Ἀριστοτέλεος μηνὸς | Λαφρίου, ἐν δὲ Δελφοῖς ἄρχοντος Ξενέα μηνὸς Θεοξενίου, | ἀπέδοτο Πολυστράτα Διλαιΐς, συνεπαινεουσᾶν καὶ τᾶν θυγα|τέρων Κλεοῦς καὶ Τιμοῦς, τῶι Ἀπόλλωνι τῶι Πυθίωι παιδάριον ὧ[ι] ‖ ὄνομα Νικίας, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε | [τὰν ὠνὰν] Νικίας τῶι θεῶι, ὥστε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτον | ἀπὸ πάντων τὸν πάντα χρόνον καὶ οἰκεῖν ὅπει κα θέλῃ. βεβαιωτῆρες· | Νικοκ(λ)ῆς Διλα[ι]εύς, Εὐκράτης Δελφός. | μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, ‖ Ταραντῖνος καὶ οἱ ἄρχοντες Δάμων, Ξένων, Πολύων, | ἰδιῶται Φίλαγρος, Πολέμαρχος, Ἀντιχάρης.

Wegen der Zeichen s. zu 1723.

W.-F. Z. 4 *ὧι.* — 7 *[ὅ]πει.* — 8 *Νικοκ[λ]ῆς* — Stein °ΚΗΣ. — 8 *Διλαιεύς.* — In Z. 6 steht wirklich die Vermengung von nom. u. acc. c. inf.; vgl. 1697, 5; 1813, 8; 1824, 5; 1899, 4/5.

Zeit. Priesterschaft IV (170—157/6).

1729 *W.-F.* 64. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν Παναιτώλου μηνὸς Ἀγυ|έου, ἐν δὲ Δελφοῖς ἄρχοντος Ξενέα μηνὸς Ἡρακλέου, | ἐπὶ τοῖσδε ἀπέδοτο Πάτρων Γλαυκίωνος Χαλειεύς, συν|ευδοκέοντος τοῦ υἱοῦ Κλέωνος, τοῖ Ἀπόλλωνι τῶι Πυθίωι ‖ σῶμα ἀνδρέον ᾧ ὄνομα Καλλικράτης τὸ γένος οἰκογενής, | τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει, καθὼς αὐτὸς | ἐπίστευσε Καλλικράτης τὰν ὠνὰν τῶι θεῶι, ἐφ᾽ ὧιτε ἐλεύθε|ρον εἶναι καὶ ἀνέφαπτον ἀπὸ πάντων, ἐπεί κά τι πάθῃ Πάτρω[ν]. | παραμεινάτω δὲ Καλλικράτης παρὰ Πάτρωνα ἕως κα ζ[ῇ] Πά‖τρων, ποιῶν τὸ ποτιτασσόμενον πᾶν καὶ νυκτὸς καὶ ἁμέρας | ἀνεγκλήτως τὸ δυνατόν· εἰ δέ κα ἢ μὴ παραμένῃ ἢ μὴ ποῇ τὸ ποτι|τασσόμενον Καλλικράτης Πάτρωνι, κύριος ἔστω κολάζων ὥς κα θέλῃ | καὶ ἄλλος ὅν κα Πάτρων κελεύσῃ. εἰ δέ τις ἐφάπτοιτο Καλλικράτεος, ἐπεί κά τι | πάθῃ Πάτρων, κύριος ἔστω συλέων αἰσαυτὸν καὶ ἄλλος ὁ παρατυγχά‖νων ἐπ᾽ ἐλευθερίαι ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας [κ]αὶ ζα-

μίας. κύριος δὲ ἔστω Καλλικράτης ποιῶν ὅ κα θέλη καὶ ἀποτρέχων [ο]ἷς | κα θέλη. βεβαιωτῆρες κατὰ τὸν νόμον· Μικκύλος Λαδίκου Χαλειεύς, Πραξίας | Εὐδόκου Δελφός. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ταραντῖνος, Ἀμύντας | καὶ οἱ ἄρχοντες Δάμων, Ξένων, Πολίων, ἰδιῶται Γλαῦκος Ξένωνος, Ἀρχέλαος || Πραούχου, Ἀλέξων Χαριξένου, Σωσίας Ξένωνος, Ἀπολλόδωρος Σωπάτρο[υ].

Wegen der Zeichen s. zu 1723.

W.-F. Z. 5 *οἰκογενῆ,* der Stein ΝΗΣ, also mit Attraktion an den Relativsatz wie 1864, 2; 1905, 2. — 8 *Πάτρων.* — 9 *ζῆ,* ich finde nach I das Zeichen ausgeschlagen. — 15 *καὶ ζαμίας.* — 16 *οἷς.* — 20 *Σωπάτρου.*

Neben *τῶι Πυθίωι* (Z. 4), *τῶι θεῶι, ἐφ᾽ ὧιτε* (Z. 7) steht Z. 4 *τοῖ* und 5 *οἷ.* S. 1723, 1724, 1726, 1742. — Die Form *ἀνδρέον* st. *ἀνδρεῖον* kehrt 1758, 3 wieder und ist neben *Ἡρακλέου* (Z. 2) consequent. — Die attische Form *εἶναι* in Z. 8 ist sicher. — Die Assimilation in *ἀνεκκλήτως* steht 1723 zweimal, Z. 10/11 und 18. — Ueber die Familie, zu der *Πραξίας Εὐδόκου* gehört (Z. 17), s. zu 1726 und Pomtow, Fleck. Jahrb. 1889, 560 ff.

Zeit. Priesterschaft IV (170–157/6).

1730 *W.-F.* 65. C. v. B.

Ἄρχοντος ἐν Δελφοῖς Αἰακίδα τοῦ Φιλαιτώλου, ἐν δὲ Αἰτωλίαι στραταγέον|τος Θόα, ἀπέδοτο Φιλλέας Φίλωνος Τριτεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυ|ναικεῖον ἇι ὄνομα Ἀγαθόκλεια, τὰν ἔλαβε παρὰ Λυκίσκας, τιμᾶς ἀργυρίου μνᾶν ἓξ στα|τήρων εἴκοσι, καὶ τὰν τιμὰν ἔχει, καθὼς ἐπίστευσε Ἀγαθόκλεια τὰν ὠνὰν τῶι θεῶι, || ἐφ᾽ ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸμ πάντα βίον, ποιέουσαν | ὅ κα θέληι· εἰ δέ τις ἐφάπτοιτο Ἀγαθοκλείας ἐπὶ καταδουλισμῶι, κύριος ἔστω ὁ πα|ρατυχὼν συλέων Ἀγαθόκλειαν ἐλευθέραν οὖσαν κατὰ τὰν ὠνὰν τοῦ θεοῦ ἀ|ζάμιος ὢν καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. βεβαιωτῆρες κατὰ τὸ σύμβολον | καὶ κατὰ τοὺς νόμους τᾶς πόλιος τῶν Δελφῶν· Φίλων Φιλλέα Τριτεύς, Ἀντιχάρης || Ἀζαράτου, Στράτων Λυσιμάχου Δελφοί. μάρτυρες· ὁ ἱερεὺς Ταραντῖνος καὶ ὁ ἄρ|χων Νικόμαχος καὶ ἰδιῶται Ἄθαμβος, Θεύδοτος, Μένης, Ἐμμενίδας, Φίλων, Εὐκλείδας.

Wegen der Zeichen s. zu 1723.

W.-F. Z. 1 *Αἰτωλοῖς* st. *°λίαι.* — 11 fehlt *καὶ* vor *ἰδιῶται.* — Nach *θέληι* Z. 6 sind 3 Zeichen ausgeschlagen. — Der Priestername ist falsch; wir erwarten entweder *Ἄθαμβος* oder *Ἀμύντας*; ersterer steht irrtümlicherweise unter der Privaten.

Zeit. Priesterschaft III: 173/172.

1731 *W.-F.* 66 C. v. B.

Ἄρχοντος Ἄρχωνος τοῦ Νικοβούλου μηνὸς Εἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Εὐ|φρόνιος Ζωΐλου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Κίν|τος τὸ γένος ἐνδογενῆ, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπί|στευσε Κίντος τὰν ὠνὰν τῶι θεῶι, ἐφ᾽ ὅτω ἐλεύθερος εἶμεν τὸμ πάντα ‖ βίον καὶ ἀνέφαπτος ἀπὸ πάντων. βεβαιωτῆρες κατὰ τὸν νόμον τᾶς πόλι|ος τῶν Δελφῶν Ἄθαμβος Ἀθανίωνος, Ἐμμενίδας Καλλία. παραμεινάτω δ(ὲ) Κίν|τος παρὰ Εὐφρόνιον ἄχρι οὗ κα ζώη Εὐφρόνιος, ἀνένκλητος ὢν καὶ ποιῶν τὸ | ποτιτασσόμενον πᾶν καὶ τρέφων Εὐφρόνιον καὶ εὐσχημονίζων καὶ τὰς | συμβολὰς ἐν τὰς φυλὰς διδοὺς τὰ δίκαια ὑπὲρ Εὐφρόνιον, καὶ ἐπεί κα ἀπο‖θάνη, θαψάτω Κίντος καὶ τὰς ἀλλαθεάδας ποησάιω καθὼς νομίζεται | καὶ (ἐπεί κα) ποιήση καθὼς γέγραπται, ἐλεύθερος ἔστω κατὰ τὰν ὠνὰν τοῦ θε|οῦ· εἰ δὲ μὴ ποιέοι τὸ ποτιτασσόμενον Εὐφρονίωι Κίντος ἢ μὴ τ[ρέ]φοι | Κίντος, κύριος ἔστω Εὐφρόνιος ποιέων ὅ κα θέλη Κίντον. μάρτυρε[ς· ο]ἱ ἱε|ρεῖς τοῦ Ἀπόλλωνος Ταραντῖνος, Ἀμύντας καὶ οἱ ἄρχοντες ‖ Χαρίξενος, Σώτιμος, Νικόμαχος καὶ ἰδιῶται | Διόδωρος, Μένης, Ἧρυς, Φίλαγρος.

W.-F. Z. 6 *παραμεινάτω* [*δὲ*] *Κίν|τος*, der Steinmetz überging *ε* und schlug °ΩΔΚ° ein. — Zu 11 ergänzen sie auf S. 306 die eingesetzten Worte. Vielleicht überflüssig wegen des Satztones. — 12 *τρέφοι*. — 13 *μάρτυρες· οἱ*. — *Εὐφρόνιος Ζωΐλου* auch in No. 1742. Ueber *ἀλ-λαθ-εάδες* (1775, 29; 1796, 5) „Erinnerungsfeierlichkeiten" handele ich anderwärts.
Zeit. Priesterschaft IV (170—157/6).

1732 *W.-F.* 67. C. v. B.

Ἄρχοντος Εὐαγγέλου τοῦ Σωδαμίδα μηνὸς | Εἰλαίου, ἀπέδοτο Κάλλων Ἀριστοδάμου, συνευ|δοκεούσας καὶ τᾶς γυναικὸς Ἀγαθοῦς, τῶι Ἀπόλλω|νι τῶι Πυθίωι σῶμα γυναικεῖον ἅι ὄνομα Λύσιον τὸ γέ‖νος Ἀμβρυσσίαν, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν | ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Λύσιον τῶι θεῶι τὰν ὠνάν, | ἐφ᾽ ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ | πάντα βίον. παραμινάτω δὲ Λύσιον παρὰ Κάλλωνα καὶ Ἀγαθὼ ἄχρι | κα ζώωντι Κάλλων καὶ Ἀγαθώ, ποιέουσα τὸ ποτιτασσόμενον πᾶν ‖ τὸ δυνατὸν ἀνενκλήτως. εἰ δέ τί κα πάθωντι Κάλλων καὶ Ἀγαθώ, | κυρία ἔστω Λύσιον ἀποτρέχουσα οἷς κα αὐτὰ θέλη καὶ ποιέουσα ὅ ⟨ις⟩ κα | θέλη. βεβαιωτὴρ κατὰ τὸν νόμον· Φίλων Δικαίας. εἰ δέ τις αὐτᾶς ἅπτοιτο | ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι

τὰν ὠνὰν οἵ τε ἀποδό|μενοι καὶ ὁ βεβαιωτήρ· εἰ δὲ μὴ παρέχοιν, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον ‖ τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες | ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. | μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος καὶ οἱ ἄρχοντες Βάκχιος, | Εὔδοκος, Καλλίμαχος, ἰδιῶται Πολύων Τιμοκλέος, Ἀρχέλαος, Φρῦνος, Εὐκλείδας, Τιμόκριτος.

W.-F. Z. 8 *παραμ[ε]ινάτω.* — 11 *ποιέουσα οἷς κα θέλη.* — 14 *ἐόντω.* — 17 *Βάκχιος*, wie 1733, 9. — Um den letzten Namen von Z. 18 noch auf die Zeile zu bringen, schlug der Steinmetz °*κριτος* in leichtem Bogen nach unten ein.

Der Genitiv *Δικαίας* Z. 12 setzt einen Nominativ masc. gen. auf *-α* voraus; über ähnliche Fälle aus Epidauros Bechtel, GDI. 3025; Verf. Stud. I, 233.

Zeit. Priesterschaft IV (170—157/6).

1733 *W.-F.* 68 C. v. B.

Ἄρχοντος Εὐαγγέλου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Εὐκλῆς Ἐτυμώνδα τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Ῥόθος τὸ γένος ⟨τὸ γένος⟩ Θρᾶικα, τιμᾶς ἀργυρίου μνᾶν | τεσσάρων, καθὼς ἐπίστευσε Ῥόθος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφα|πτος ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιέων ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέλη. βεβαιω‖τῆρες κατὰ τὸν νόμον τᾶς πόλιος· Κλέων Δίωνος, Ἀστόξενος Διονυσίου. εἰ δέ τις ἐφάπτοιτο Ῥό|θου ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Εὐκλῆς καὶ οἱ βεβαιω|τῆρες Κλέων, Ἀστόξενος· εἰ δὲ μὴ παρέχοιεν βέβαιον τὰν ὠνὰν τῶι θεῶι, πράκτιμοι ἐόντω κατὰ τὸν νό|μον. κύριοι ἐόντω συλέοντες ὡς ἐλεύθερον ὄντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζα|μίας. μάρτυρες· οἱ ἄρχοντες Βάκχιος, Εὔδοκος, Καλλίμαχος καὶ οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραν‖τῖνος καὶ ὁ προστάτας τοῦ ἱεροῦ Ξένων Ἀτεισίδα καὶ ὁ νε[(ω)]κόρος Μένης, ἰδιῶται Βαβύλος Αἰακίδα, Φίλαγρος, | Καλλίκων, Φίλων Ἀριστέα, Μαντίας Δαμοχάρεος, Εὐθυμένης.

Die Dittographie in Z. 2 tilgte der Steinmetz nur z. T., er schlug nur *εν* und *ς* aus. — Z. 8 auffällig das Asyndeton; wahrscheinlich überging aus Versehen der Steinmetz: *ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες*, vgl. No. 1734. — Die Namensform des Archonten ist in Z. 9 *Βάκχιος*, vgl. *Βάχχιος* in der vorigen Nummer. — Z. 10 hat der Stein ΝΕΟ°, eine Mischform aus *νεω-°* und *ναο-κόρος*.

Zeit. Priesterschaft IV (170—157/6).

1734 *W.-F.* 69. C. v. B.

Ἄρχοντος ἐν Χαλείωι Φιλίστου μηνὸς Κοουτίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ἐμμενίδα μηνὸς Ἡραίου, ἐπὶ τοῖσδε ἀ|πέδοτο Μίκκων Διοροκλέος Χαλειεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Λύκων οἰκογενῆ, τιμᾶς | ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Λύκων τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος | ἀπὸ πάντων τὸμ πάντα χρόνον, ποιέων ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέλη. βεβαιωτῆρες κατὰ τὸν νόμον τᾶς πόλι||ος· Δείνων Ἡρακλείδα Χαλ⟨λ⟩ειεύς, Τιμόκριτος Εὐκλείδα Δελφός. εἰ δέ τίς κα ἐφάπτηται Λύκωνος ἐπὶ καταδουλισμῶι, βέ|βαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Μίκκων καὶ οἱ βεβαιωτῆρες Δείνων, Τιμόκριτος· εἰ δὲ μὴ παρέχοιεν | βέβαιον τῶι θεῶι τὰν ὠνάν, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέον|τες ὡς ἐλεύθερον ὄντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος | Ἀμύντας, Ταραντῖνος καὶ οἱ ἄρχοντες Ἀριστίων, Ἄσανδρος, Ἀριστόμαχος καὶ ἰδιῶται Εὐάγγελος Πάτρωνος, Βούλων, || Εὐκλείδας, Νικέας Ἀγησάρχου, Εὔδωρος Δελφοί, Δαμοτέλης Τρειτεύς.

Für den Monatsnamen aus *Χάλειον* schrieb ich mir auf: ΚΟΟΥ° oder ΚΟΘΥ möglich. Vgl. Hauss. no. 45 die Form *Κοου[τί]ου*. — *W.-F.* Z. 5 nur *Χαλειεύς*. — 6 *παρεχόντων*. — 7 *ἐόντω*. — Wegen *Τρειτεύς* (so! Z. 10) vgl. den Index. — Die 3 Archonten kehren in den folgenden Nummern mehrfach, 1737, 10 mit ihren Vatersnamen wieder.

Zeit. Priesterschaft IV (170—157/6).

1735 *W.-F.* 70. C. v. B.

Ἄρχοντος Ἐμμενίδα τοῦ Καλλία μηνὸς Δαιδαφορίου, ἀπέδοτο Τελεσὼ Μνασικράτεος Δελφίς, συνευδο|κέοντος καὶ τοῦ υἱοῦ Κλέωνος, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Λαδίκα τὸ γένος Σύραν, | τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει, καθὼς ἐπίστευσε Λαδίκα τῶι θεῶι τὰν ὠνάν, | ἐφ' ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸμ πάντα χρόνον, ποιέουσα ὅ κα θέλῃ || καὶ ἀποτρέχουσα οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Ἀστόξενος Διονυσίου. | εἰ δέ τις ἐφάπτοιτο Λαδίκας ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰ[ν] | ἅ τε ἀποδομένα Τελεσὼ καὶ ὁ βεβαιωτὴρ Ἀστόξενος· εἰ δὲ μὴ παρέχοιεν βέβαιον τὰν ὠνὰν | τῶι θεῶι, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον.

ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόν|των συλέοντες ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας ‖ μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ταραντῖνος, Ἀμύντας καὶ τοὶ ἄρχοντες Ἀριστίων, Ἄσαν|δρος, Ἀριστόμαχος, ἰδιῶται Πατρέας, Εὐκράτης, Ἀστόξενος, Κλέων, Ἀρτεμίδωρος, Χαρίξενος.

W.-F. Z. 6 *ὠνάν* voll. — Verletzt nur 5 Zeichen in Z. 4, 6, 9.
Zeit. Priesterschaft IV (170—157/6).

1736 *W.-F.* 71. C. v. B.

Ἄρχοντος Ἐμμενίδα τοῦ Καλλία μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Δαμένης Ὀρέστα τῶι Ἀ|πόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Μίκκα, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε | Μίκκα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὰν ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον, ποιοῦσαν ὅ κα θέλη. βεβαιωτὴρ | κατὰ τὸν νόμον· Ξενόκριτος Ταραντίνου. μάρτυρες· οἱ ἱερεῖς Ἀμύντας, Ταραντῖνος, ἰδιῶται Ἀγησίλαος, ‖ Ἐμμενίδας Δεξικράτεος, Μένης.

Der Freilasser kommt auch sonst vor, s. Index. — *W.-F.* Z. 3 *ἐφ' ὧιτε.* Der Stein hat nur *ἐφ' ὧι,* und ich habe es gelassen. Schwerlich ist Versehen anzunehmen und *ἐφ' ὧι(τε)* zu schreiben. *ἐφ' ὧι* auch 1774, 4; 1820, 4 u. a.
Zeit. Priesterschaft IV (170—157/6).

1737 *W.-F.* 72. C. v. B.

Ἄρχοντος Ἐμμενίδα τοῦ Καλλία μηνὸς Ποιτροπίου, ἀπέδοτο Δάμιος | Λυκίδα Ναυπάκτιος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα | Καρπὶς οἰκογενῆ, ἐφ' ὅτωι ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων | τὸν πάντα βίον, καθὼς ἐπίστευσε Καρπὶς τῶι Ἀπόλλωνι τὰν ὠνάν, ‖ τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει. βεβαιωτήρ· Χαρίξε|νος Ἐχεφύλου Ἀμφισσεύς. εἰ δέ τις ἐπιλαμβάνοιτο Καρπίδος ἐπὶ κα|ταδουλισμῶι, κύριος ἔστω ὁ παρατυχὼν συλέων ἀζάμιος καὶ ἀνυ|πόδικος ἐὼν ὡς ἐλευθέραν οὖσαν. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλ|λωνος Ἀμύντας Εὐδώρου, Ταραντῖνος Ἄρχωνος καὶ οἱ ἄρ‖χοντες Ἄσανδρος Διονυσίου, Ἀριστίων Ἄγιωνος, Ἀριστόμαχος | Ὀλυμπογένεος, ἰδιῶται Ἀστόξενος, Ἀμύντας, Νικέας, Σώσιππος, | Ἡρακλείδας, Ἀρίστιων Ἀμφισσεύς.

Ueberlieferung bei *W.-F.* genau. Die Inschrift ist bis auf 4 Zeichen gut erhalten. — In Z. 10 haben *W.-F.* S. 313 *Ἁγίωνος* statt *Ἄγωνος* schon berichtigt.
Zeit. Priesterschaft IV (170—157/6).

1738 *W.-F.* 73. C. v. B.

Ἄρχοντος Ἐμ(μ)ενίδα τοῦ Καλλία μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε | ἀπέδοτο Κλέων Κλεοξένου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶ|μα ἀνδρεῖον ὧι ὄνομα Ἱστιαῖος τὸ γένος Σύρον, τιμᾶς ἀργυρί|ου μνᾶν τεσσάρων, ἐφ' ὧιτε ἐλεύθερον εἶμεν καὶ ἀνέφα||πτον ἀπὸ πάντων τὸν πάντα βίον, καθὼς ἐπίστευσε | Ἱστιαῖος τῶι θεῶι τὰν ὠνάν, ποιέων ὅ κα θέλῃ. βεβαιωτὴρ | κατὰ τὸν νόμον τᾶς πόλιος· Αἰακίδας Φιλαιτώλου. | μάρτυρες· τῶν ἀρχόντων Ἀριστίων Ἄγωνος, Ἄσαν|δρος, ἰδιῶται Νίκαρχος, Νικόμαχος, Μαντίας, || Εὐκλείδας.

W.-F. Z. 1 *Ἐμμενίδα*, der Stein giebt EMEN°.

Zeit. Priesterschaft IV (170—157/6). Die Priesternamen fehlen, aber 1738 steht hinter 1732—1737, die sämmtlich IV angehören, und 1738 hat gleichen Archont wie 1735—1737. Vgl. 1819, 1820.

1739 *W.-F.* 74. C. v. B.

Στραταγέοντος τ[ῶ]ν Αἰτωλῶν | Προάνδρου Φόλα μηνὸς Πανάμου, | ἐν Δελφοῖς δὲ ἄρχοντος Λαιάδα | μηνὸς Βουκατίου, ἐπὶ τοῖσδε ἀπέδοτο || Στράταγος Πορθάονος Φυσκεὺς | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖ|ον ἇι ὄνομα Ἀρτεμισία, τιμᾶς ἀργυρίου | μνᾶν τεσσάρων, τὸ γένος Ἀσιαγενῆ, καθὼς | ἐπίστευσε Ἀρτεμισία τῶι Ἀπόλλωνι τῶι || Πυθίωι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα 'εἶμεν | [κ]αὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάν|τα βίον, ποιέουσα ὅ κα θέλῃ καὶ ἀποτρέχουσα οἷς | κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον· Πορθάων | Στρατάγου Φυσκεύς. μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλω||νος Ἀμύντας, Ταραντῖνος, τῶν ἀρχόντων Βάκχιος, | ἰδιῶται Εὐκλείδας, Ἀριστοκράτης, Ἀριστίων Ἄγω|νος, Ξένων Βούλωνος, Ξένων Κλ[έ]ωνος.

W.-F. Z. 1 *τῶν*. — 11 *καί*. — 13 *[Π]ορθάων*. — 17 *Κλ[έω]νος*. — Z. 7/8 zeigt, wie sich der Steinmetz versah; das weggelassene *τὸ γένος Ἀσιαγενῆ* setzte er hinter den Preis.

Zeit. Priesterschaft IV: August/September 170.

1740 *W.-F.* 75. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν Προάνδρου Φόλα μηνὸς | Πανάμου, ἐν Δελφοῖς δὲ ἄρχοντος Λαιάδα μηνὸς Βουκα|τίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀριστόκλεια Ἀγαθοκλέος Ναυπακτία, συνευδοκέοντος τοῦ υἱοῦ Στρατονίκου καὶ ὑπὲρ || Ἀγαθοκλῆ τοῦ υἱοῦ Ζωΐλου, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα | ἀνδρεῖον ὧι ὄνομα Ἡρακλείδας τὸ γένος Ἀλεξανδρῆ, τιμᾶς | ἀργυρίου

μνᾶν τριῶν, καθὼς ἐπίστευσε Ἡρακλείδας τῶι θεῶι | τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερον εἶμεν αὐτόν, ποι(έ)οντα ὅ κα θέλῃ, | καὶ ἀνέφαπτον ἐν παντὶ τόπωι ἀπὸ πάντων τὸμ πάντα χρόνον. ‖ βεβαιωτὴρ κατὰ τὸν νόμον· Ἀριστόλαος Δάμω[ν]ος Δελφός, | Ἀγήσανδρος Ἀριστάρχου Καλλιπολίτας. μάρτυροι· οἱ ἱερεῖς τοῦ | Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος καὶ οἱ ἄρχοντες Ἀριστίων, | Βάκχιος, ἰδιῶται Ἀλέξανδρος, Ἀνδρόνικος, Δορκίνας, Βυριά|δας, Ἀρτεμίδωρος, Ἀντίκριτος, Καλλίερος, Ἐκέφυλος, Μέλις, ‖ Εὐκλείδας Δελφοί.

Z. 8 hat der Stein ΠΟΙΟΝΤΑ.

Zeit. Priesterschaft IV: August/September 170.

1741 *W.-F.* 76. C. v. B.

Ἄρχοντος Κλευδάμου τοῦ Μαντία μηνὸς Ἰλαίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Λύκα Θρασυ[κ]λέος Δελφίς, | συνεπαινέοντος καὶ τοῦ υἱοῦ Σωνίκου, | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναι‖κεῖον ἇι ὄνομα Σωτώ, τιμᾶς | ἀργυρίου μνᾶν τεσσάρων, καὶ | τὰν τιμὰν ἔχει, καθὼς ἐπίστευσε Σω|τὼ τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέραν | εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν ‖ πάντα βίον, ποιέουσαν ὅ κα θέλῃ. βεβαιω|τὴρ κατὰ τὸν νόμον· Πραξίας Εὐδόκου. | μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος | Ἀμύντας, Ταραντῖνος, ἰδιῶται Ἀν|δρόνικος Φρικίδα, Εὐκλείδας Καλ‖λείδα, Εὔδωρος, Σωτύλος.

W.-F. Z. 2 *Θρασυκλέος.* — S. zu 1726 über den Bürgen.

Zeit. Priesterschaft IV: Juni/Juli 168.

1742 *W.-F.* 77. C. v. B.

Ἄρχοντος Λαιάδα μηνὸς Ποιτροπίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Εὐφρόνιος Ζωΐλου, συνευδ|οκέοντος καὶ τοῦ υἱοῦ Θευδώρου, τῶι Ἀπόλλωνι | τοῖ Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἀγαθά, τιμᾶς ‖ ἀργυρίου μνᾶν τριῶν. (βε)βαιωτὴρ κατὰ τὸν νόμον· | Κλέων Δίωνος. παραμεινάτω δὲ Ἀγαθὰ παρὰ Εὐφρόνιον | ἀνένκλητος ἐοῦσα. εἰ δέ τί κα πάθῃ Εὐφρόνιος, παραμεινάτω Ἀγαθὰ πα(ρὰ) Θεύδωρον ἀπὸ τ[ᾶ]ς Λαιάδα ἀρχᾶς | ἔτη ἕξ, καὶ ἀποτρεχέτω ἐλευθέρα. μάρτυροι· τοὶ ἱαρεῖς | τοῦ Ἀπόλλωνος Ταρ(α)ντῖνος, Ἀμύνιας καὶ τοὶ | ἄρχοντες Βάχχιος, Ἀριστίων καὶ ἐκτὸς Ἀλέξων, | Μνασίθεος. ἐξέστω δὲ τω[unbenutzter Raum von $2\frac{1}{2}$ Zeile].

Die Inschrift ist zwar mit grossen, weiten Zeichen eingemeisselt, aber doch nicht mit Sorgfalt. Der Steinmetz überging die Silbe *βε* in Z. 5, die Silbe *ϱα* in Z. 8 und das 2. *α* im Namen *Ταϱαντῖνος*. Nach der Nennung der Zeugen, die doch gewöhnlich den Schluss bilden, ist ein Nachtragspassus angefangen, aber unvollendet geblieben. Raum war genug da: $2^1/_2$ Zeile sind leer gelassen. Was dem Freilasser oder Freigelassenen noch eingeräumt wurde, lässt sich nicht erraten; man kann an mehrere Formeln denken. Der Freilasser ist derselbe wie in No. 1731. — Die Schreibungen *τῶι* und *τοῖ* neben einander in Z. 3/4 wie in 1729, 4. — *ἐκτός* wird Z. 11 „ausserdem" bedeuten. Das ist singulär.

Zeit. Priesterschaft IV: December/Januar 170/169.

1743 *W.-F.* 78. C. v. B.

Ἄϱχοντος Ξενέα μηνὸς Ἡϱαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Δαμοκϱάτεια | Καφισ⟨σ⟩ία Δελφὶς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνομα | Ῥοδία τὸ γένος [(Σ)]ύϱ[α], συνεπαινέοντος ⟨ΑΕ⟩ καὶ τοῦ πατϱὸς Καφισία, τι|μᾶς ἀϱγυϱίου μνᾶν δύο. βεβαιωτὴϱ κατὰ τοὺς [ν]όμους τᾶς πόλιος· Σώφιλος, ‖ Νικέας Καφισία Δελφοί. καθὼς ἐπίστευσε τὰν ὠνὰν τῶι θεῶι Ῥοδία. π|αϱαμεινάτω δὲ Ῥοδία παϱὰ] | Δαμοκϱάτειαν ἔτη πέντε ποιοῦσα τὰ δυνα[τ]ά· εἰ δέ κα παϱαμ[ε]ίνη Ῥο[δία πα]‖ϱὰ Δαμοκϱάτειαν τὰ πέντε ἔτη, ἀποτϱεχ[έ]τω Ῥοδία παϱὰ Δαμοκϱατείας οἷς κα θέλη ἐλευθέϱα οὖσα καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον· εἰ δέ [τί]ς κα | Ῥοδίαν καταδουλίζοιτο, κύϱιος ἔστω ὁ παϱατυχὼν συλέων κατὰ ‖ [τ]ὰν ἀναγϱαφὰν καὶ ὠνὰν τὰν ἐν τῶι ἱαϱῶι ἀναγεγϱαμμέναν· | εἰ δέ κα μὴ παϱαμείν(η) Ῥοδία παϱὰ Δαμοκϱάτειαν μηδὲ [τὰ δυνατὰ ποιήσ|η τὰ | πέντε ἔτη, κυϱία [ἔ]στω Δαμοκϱάτεια ἢ ἄλλος ὑπὲϱ Δαμοκϱάτειαν ποιῶν | [ὅ κα θέλη Ῥοδίαν. μάϱτυ]ϱες· τοὶ ἱαϱεῖς τοῦ Ἀπόλλωνος Ταϱαντῖνος, Ἀμύντας καὶ τοὶ ἄϱχοντες Ἀϱιστοκϱάτης Λυκίσκου, Ἀθανίων Ἀϱίστ[. . . . .], ‖ Ἀϱχίας Ἀϱχελάου, ἰδιῶται Ἐμμενίδας, Δεξικϱάτης, Καλλικλῆς.

W.-F. Z. 2 *Καφισία* mit einem *σ* wie in Z. 3 und 5. — 3 *τὸ γένος Σύϱα,* der Stein hat jetzt nur ΝΥΡ. — 3 *συνευδοκέοντος* st. *συνεπαινέοντος*. Mir ist unklar, wie der Steinmetz zu dem Versehen nach diesem Genitive kam. — *W.-F.* Z. 4 *νόμους τᾶς πόλι*[*ος*·]|, aber *πόλιος* ist klar, dahinter entweder *Σώφιλος* oder ⟨*ς*-⟩ *Φίλων*. — 5 *Νικ*[*ί*]*ας Καφισία Δελφ*[*ό*]*ς*, aber *Νικέας* und *Δελφοί* sind deutlich. — 6 *δυνατά· εἰ δέ κα παϱαμείνη*. — 7 *ἀποτϱεχέτω,* am Ende [*θε*-], was lesbar ist. — Zu Anfang von Z. 7 steht nach *ϱα*: ΔΑΜ, also nach *δ* wollte der Steinmetz schon *μ* einschlagen, machte aber noch *α* daraus. — *W.-F.* Z. 8 *εἰ δέ* [*τίς κα*]. — 9 *ὁ παϱατυχὼν* [*συλέων κατά*]. — 10 [*τὰ*]*ν*. — 11 *παϱαμεί*[*νη*], dann *μηδὲ . . . . η τὰ*.

Da diese Zeile der Bestimmung in 5/6 entspricht, kann nur [*τὰ δυνατὰ ποι*]*ῇ* oder *ποιήσ*]*η* eingesetzt werden. — *W.-F.* Z. 12 *ἔστω*, am Schlusse *ποι* . . . | . . . . *Μάρτυ*]*ρες*. Ich sah noch die Schlusslaute °*ῶν*, die man auch sonst erraten hätte. Ueber die Einsetzung in die Lücke kann kein Zweifel bestehen; es hilft 1731, 13, wo *ποιεῖν τινά τι* „jem. etwas anthun" im Sinne von *κακὰ ποιεῖν* d. i. *κολάζειν τινά* begegnet (so auch 1801, 3). — *W.-F.* 14 *Ἀθανίων Ἀριστ*[. . . . .]; erwartet wird *Δαμοφάνης*, vgl. 1725—1727. — Meine Notizen reichen nur bis Z. 12.

Zeit. Priesterschaft IV (170—157/6).

1744 *W.-F.* 79.

Ἄρχοντος ἐν Δελφοῖς Θευξένου μηνὸς Ἀμαλίου, ἀπέδοτο Θεόδωρος | Εὐφρονίου Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον οἷ ὄνομα Πυῤῥίας τὸ γένος οἰκογεν[*ῆ*], | *τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Πυῤῥία*[*ς*] | *τῶι θεῶι τὰν ὠν*[*άν, ἐφ' ὧιτε*] *ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων καὶ ἀποτρέχ*[*ειν οἷς*] || *κα θέλη. βεβαιωτῆρες· Δρομοκλείδας Ἁγίωνος, Ἄθανβος Ἀθανίωνος, κατὰ τὸν νόμον.* | *εἰ δέ* [*τίς*] *κα ἐφάπτηται Πυῤῥία, βέβαι*[*ον παρεχόντω τὰν ὠνὰ*]*ν ὅ τε ἀποδόμενος Θεύδω|ρος καὶ* [*οἱ*] *βεβαιωτῆρες Δρομ*[*οκλεί*]*δας, Ἄθαμβος. καὶ ὁμοίως ὁ παρατυχὼν κύριος ἔστω συλέων* | *Πυῤῥίαν ὡς ἐλεύθερον ὄντα ἀνυπεύθυνος ὢν πάσας δίκας καὶ ζαμίας. μάρτυροι·* | *οἱ ἱαρεῖς Ἀμύντας, Ταραντῖνος καὶ τοὶ ἄρχοντες Πολέμαρχος Πausανία*, [*Φι*]*λοκράτης* [*Ξένωνος,*] || [*Ἄρχ*]*ω*[*ν*] *Νικοβούλου, ἰδιῶται Δίων Φιλιστίωνος, Καλλί*[*κων Ἡ*]*ράκωνος, Εὐφρόνιος* | *Ἡρα*[*κλείδ*]*ου.*

Vgl. die Bemerkung zum Texte von 1710. Der Abklatsch misslang gänzlich. — Z. 9 Anfang wird man *οἱ*, das man um des folgenden *τοί* willen zu ändern sich versucht fühlen könnte, belassen, wie dieselbe Inschrift ja auch *Ἄθανβος* (Z. 5) und *Ἄθαμβος* (Z. 7), *Θεόδωρος* (Z. 1) und *Θεύδωρος* (Z. 6) neben einander hat. — *W.-F.* Z. 9/10 *Φιλοκράτης* . . . . . . | . . . *ω*[*ν*]. Zur Zeichenzahl stimmt | [*Ἄρχ*]*ω*[*ν*], was ich in Z. 10 nach 1747, 16 und 1748, 13 einsetze. Der Vatersname zu *Φιλοκράτης* ist aus 1776, 43 zu ermitteln.

Zeit. Priesterschaft IV (170—157/6).

1745 *W.-F.* 80.

Στραταγέοντος Εὐπολέμου τὸ δεύτερον μηνὸς Ἑρμαίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ξενο|χάρεος μηνὸς Θευξενίου, ἀπέδοτο Κλεύμαντις Φιλοδάμου Τολφώνιος τῶι Ἀπόλλωνι | *τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Σωσικράτεια τὸ γένος ἐνδογενῆ,*

συνευ|δοκέοντος τοῦ υἱοῦ Φιλοδάμου, τιμᾶς ἀργυρίου μνᾶν πέντε. βεβαιωτῆρες κατὰ τὰν συμβολὰν καὶ κατὰ | τοὺς νόμους τᾶς πόλιος· Ἀριστόλαος Δάμωνος, Χαιρεσίλαος Χαιρέα Τολφώνιοι, Αἰακίδας Βαβύλου Δελφός. κα|θὼς ἐπίστευσε Σωσικράτηια τῶι θεῶι τὰν ὠνάν. βέβαιον δὲ παρεχόντων ὅ τε ἀποδόμενος καὶ οἱ βεβαιωτῆρες τῶι θεῶι τὰν ὠνάν. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος· Ἀρχέλαος, Μνάσων, Καλλίερος, Πάτρων, Λύκος, Δείνων, Καλλίας, Ἀρχέλαος, Κλευφάνης, Ξένων, Καλλικλῆς, Κρίτων, | Νίκων, Θράσων, Δαμάνθης, Πολέμαρχος.

Vgl. die Bemerkung zum Texte von 1710. Es war mir unmöglich, einen Papierabdruck von dieser Inschrift zu nehmen. — Das Ethnikon *Τολφώνιος* für *Τολοφώνιος* ist bemerkenswert. — Die Namensform *Χαιρ-εσίλαος* ist wie *Πρωτ-εσίλαος* (Vf. Stud. I, 62) zu beurteilen; besonders klar ist die Bildung in *Μετ-εσίλαος* (Bull. 1887, p. 310). — Die Priesternamen *Ἀμύντας καὶ Ἄθαμβος* sind Z. 7 weggelassen worden; falsch ist also, dass *W.-F.* nach *οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος* kein Komma setzen. Unter den Zeugen kommen *Κλευφάνης* und *Κρίτων* vor, die in den Decreten 725—727 bei Lebas als Buleuten stehen. Siehe dagegen *W.-F.* 18, 264. — Zur Schreibung *Σωσικράτηα* vgl. *Ἡρακλήου* 1685, 1 u. a., s. Index.

Zeit. Priesterschaft III: März/April 175.

1746 *W.-F.* 81. C. v. B.

Στραταγέοντος ⟨τος⟩ τῶν Φωκέων Πυθέα Ε[. . . .]εος μη[νὸς] | ἐνάτου, ἐν Δελφοῖς δὲ | ἄρχοντος Κλευδά[μ]ου τοῦ Μαντία μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Δωροξένα Λιλαιῒς | τῶι Ἀπόλλωνι τῶι Πυθίω[ι] σῶμα γυναικεῖον ἆι ὄνομα Σωστράτα, τιμᾶς ἀργυρίου μνᾶν | τεσσάρων, καθὼς ἐπίστευσε Σωστράτα τῶι θεῶι τὰν ὠνάν, ὥστε τὰν προτερασίαν | ὠνὰν ἀρμέναν εἶμεν καὶ ἄκυρον, ἐφ᾽ ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων | τὸμ πάντα βίον, ποιέουσα ὅ κα θέλῃ καὶ ἀποτρέχουσα οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν | νόμον· Θράσων Εὐπαλίδα Λιλαιεύς. εἰ δέ τίς κα ἅπτηται Σωστράιας, βέβαιον παρεχόντω | τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀποδομένα Δωροξένα καὶ ὁ βεβαιωτὴρ Θράσων· εἰ δέ κα μὴ | παρέχωντι, πράκτιμοι ἐόντω κατὸν νόμον· ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες Σωστράταν ὡς (ἐλ)ευθέραν οὖσαν ἀζάμιοι ἐόντες καὶ ἀνυ|πόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἄρχον[τε]ς τῶν Δελφῶν Ἀνδρόνικος | Φρικίδα, Ἀμυνέας Χα[ρ]ιξέν[ο]υ, ἰδιῶται Λιλαιεῖς Ἐπίνικο[ς], Εὐκράτης, Ἐλατεὺς Θράσων, | Θεαρίων, Δελφοὶ Ἀρισταγόρας, Καλλίας, Κριτόλαος, Κράτων, Ξενοκράτης.

W.-F. Z. 1 ohne Angabe der Dittographie. — Nach *Πυθέα* steht *Ε*[. . . .]*εος*. Hierin können wir entweder (wie in 1740, 1 u. a.) den Vatersnamen, etwa *Ε*[*ὑμέν*]*εος* oder ä., vermuten, oder (wie in 1700, 1, 1712, 2 u. a.) das Ethnikon, vielleicht *Ἐ*[*λατ*]*έος*, wie in 1718, 1. Dafür spräche der Umstand, dass Zeugen aus *Ἐλάτεια* in Z. 12/13 genannt sind, dagegen, dass der Raum von 4 Zeichen durch dieses Wort nicht ausgefüllt wird. — *W.-F.* Z. 2 *Κλευδάμου*. — 3 *Πυθίωι*. — 9 *κατὰ τὸν*. — 12 *Χαριξένου*, dann *Ἐπίνικος*. — 10 hat der Stein ΩΣΕΥΘ°; der Steinmetz hat also die Silbe *ελ* übergangen, vgl. 1748, 12. — Der Bürge (in Z. 7) ist durch eine Inschrift aus Stiri nochmals bezeugt, vgl. GDI. 1539b, 9. — Das Adjectivum (Z. 4) *προτερ-άσιος* : **προτερ-άζω* : *προτερο-* = *δοκιμασία* : *δοκιμ-άζω* : *δόκιμος*; es setzt das dem *προτερίζω* (*ὑστερίζω*) analog gebildete Verbum auf °*άζω* voraus; mit *τὰν προτερασίαν ὠνάν* wechselt sonst *ἁ πρότερον ὠνά*, z. B. 1844, 7. — Das Particip *ἀρμέναν* hat gewiss langen Anlaut, ist also gleich *ἠρμένην* „getilgt, aufgehoben"; s. Index.

Zeit. Priesterschaft IV: Juni/Juli 168.

1747 *W.-F.* 82. *Ditt.* 463. C. v. B.

Στραταγέοντος τῶν Φωκέων Μενεσθένεος τοῦ Κρινολάου Ὑαμπολίου μηνὸς | ὡς μὲν Φωκεῖς ἄγοντι ὀγδόου, ἐν Δελφοῖς δὲ ἄρχοντος Θευξένου τοῦ Καλλία | μηνὸς Ἡρακλείου, ἐπὶ [*τ*]*οῖσδε ἀπέδοτο Εὐφράνωρ Καλλικρί⟨τ⟩του Λιλαιεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικ*[*ε*]*ῖον ἇι ὄνομα Φαλάκρα τὸ γένος Αἰτωλὰ ‖ ἐκ Καλλιπόλιος, συνεπαιν*[*ε*]*όντων τ*[*οῦ*] *τε υἱοῦ τοῦ Εὐφράνορος Τιμαγγέλου | καὶ τᾶς θυγατρὸς αὐτοῦ Ξενοῦς, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν | ⟨καὶ τὰν τιμὰν⟩ ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Φαλάκρα τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε | ἐλευθέραν εἶμεν καὶ ἀνέφ*[*α*]*πτον ἀπὸ πάντων τὸμ πάντα βίον καὶ ἀποτρέχου|σαν οἷς κα θέλῃ.* [*βεβαι*]*ωτῆρες κατὰ τὸν νόμον· Δίων Ἀριστοβούλου Δελ‖φός, Ἀρισ*[. . . . .]*ης Νικέα Λιλαιεύς. παραμεινάτω δὲ Φαλάκρα παρὰ Εὐφράνορα* [*ἄχρι*] *κα ζῆι Εὐφράνωρ, ποιέ*[*ο*]*υσα τὸ ποτιτασσόμενον | πᾶν τ*[*ὸ*] *δυνατόν. εἰ δέ τί* [*κα π*]*άθοι Εὐφράνωρ πρὸ τοῦ τὸν υἱὸν αὐτοῦ Τιμάγγελον | γυναῖκα λαβεῖν, παραμειν*[*ά*]*τω⟨ι⟩ Φαλάκρα Τιμαγγέλωι ἄχρι οὗ κα γυναῖκα λάβη*[*ι*], *| ποιέουσα τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατόν. εἰ δὲ μὴ παραμείναι Φαλάκρα ‖ κ*[*α*]*θὼς γέγραπται, ἄκυρος ἔστω ἁ ὠνά. μάρτυρες· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος | Ταραντῖνος καὶ οἱ ἄρχοντες Φιλοκράτης, Πολέμαρχος, Ἄρχων καὶ ἰδιῶται Ἀριστό|μ*[*α*]*χος Ὀλυμπογένεος, Δάμων Δεξώνδα, Δρομοκλείδας Ἁγίωνος, Ἵππων Ἀθανί|ωνος, Μένης Πεισιστράτου Δελφοί,*

Στρατόλαος Λυκίνου, Κλέων Ξενοκράτε|ος, Νίκαρχος Πετραίου, Ζωΐλος Ἡροίδα, Κλάδων Ξενοκράτεος Λιλαιεῖς.

W.-F. Z. 1 *Μενεσθέος.* — 3 *τοῖσδε,* dann *Καλλικρίτου.* — 4 *τῶι Πυθίωι σῶμα γυναικεῖον.* — 5 *συνεπαι[νε]όντων τοῦ.* — 7 zu Anfang ohne Angabe der Dittographie im Texte, s. jedoch S. 306. — 8 *ἀνέφαπτον*, nach *βίον* „*καί*" vergessen. — 9 *βεβαιωτῆρες.* — Wie Z. 10 die Lücke von 5 Zeichen auszufüllen sei, weiss ich nicht; möglich z. B. *Ἀρισ[τομέν]ης, Ἀρισ[τοφάν]ης* u. a. — *W.-F.* Z. 11 *ζῆ,* dann *ποιέουσα.* — 12 *τὸ δυνατόν.* — Nach *εἰ δέ τί* ist eine Lücke für 3 Zeichen, richtiger 2; denn *π* ist als sicher abzurechnen. Es giebt Fälle (s. Index) von der Construktion *εἰ* + *κὰ* + opt., möglich freilich wäre auch ursprüngliche Steinverletzung, die der Steinmetz überging. Also entweder *εἰ δέ τί [κα π]άθοι* oder *εἰ δέ τι ⟨..⟩ [π]άθοι.* — Zu Z. 13 merken *W.-F.* auf S. 306 die Schreibung °*μεινάτωι* an; am Ende dieser Zeile ist *λάβῃ* oder *λάβη[ι]* möglich. — *W.-F.* Z. 15 *καθώς.* — 16/17 *Ἀριστόμαχος.* — 18 *Λυκίνου* vergessen.

Zeit. Priesterschaft IV (170—157/6).

1748 *W.-F.* 83. C. v. B.

Ἄρχοντος Θευξένου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀριστ[ο]κράτεια Ὀνασίμου, συνεπαινέ|οντος καὶ Σωστράτου, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Δαματρία, τιμᾶς | ἀργυρίου μνᾶν δύο. βεβαιωτὴρ κατὸν νόμον· Ἀριστόμαχος Ὀλυμπογένεος. παραμεινάτω | δὲ παρὰ Ἀριστοκράτειαν ἄχρι οὗ κα ζῇ Ἀριστοκράτεια ἀνενκλήτως, ποιέουσα πᾶν τὸ ποτι||τασσόμενον τὸ δυνατόν· εἰ δέ κα μὴ ποῆι Δημητρία ἢ μὴ παραμείνηι, ἐξέστω Ἀριστο|κρατείαι ἢ ἄλλωι ὑπὲρ Ἀριστοκράτειαν κολάζειν ὥς κα θέλωντι Δημητρίαν | ἀζαμίοις ὄντοις καὶ ἀνυποδίκοις· εἰ δέ τί κα πάθηι Ἀριστοκράτεια, ἐλευθέρα ἔστω | Δημητρία κυριεύουσα αὐτοσαυτᾶς καὶ ἀποτρέχουσα οις κα θέλῃι, καθὼ[ς] | ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπ[τ]ηται Δημητρίας ἐπεί κα || τελευτάσῃι Ἀριστοκράτε[ι]α, βέβαιον παρε[χέ]τω ὁ βεβαιωτὴρ τῶι θεῶι | τὰν ὠνὰν κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ πα[ρ]ατυγχάνοντες κύριοι ἐόντω συλέοντες ὡς [ἐλ](ευ)θέραν οὖσαν ἀζάμι' ὄντες κ[α]ὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζα[μίας]. | μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος καὶ οἱ ἄρχοντες Φιλ[οκράτης], | Πολέμαρχος, Ἄρχων, ἰδιῶται Ἀριστόμαχος, Τιμοκλῆς, Ἀμύντας, Δίων.

W.-F. Z. 1 *Ἀριστοκράτεια.* — 3 *κατὰ τὸν.* — 4 *ἀνεγκλήτως.* — 5 *ποιῇ,* dann *παραμείνῃ.* — Die ggr. Form *Δημητρία* wechselt mit der dor. auf demselben Steine, vgl. 1817. — *W.-F.* Z. 8 *καθώς.* — 9 *ἅ[πτ]ηται.* —

Ἄρχοντος Ξενέα μηνὸς Βουκατίου, ἐπὶ τοῖσδε ἀπέδοντο Ἱεροκλῆς, Ἱερόκ[λ]εια, συνευδ[ο]κέοντος τοῦ υἱοῦ Θε|ογένεος, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Κλεώ, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, | καὶ τὰν τιμὰν ἔχοντι, καθὼς ἐπίστευσε

Κλεῶ τὰν ὠνὰν τῶι θεῶ. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πό|λιος· Θεογένης Ἱεροκλέος. βέβαιον δὲ παρεχόντω τὰν ὠνὰν τῶι θεῶι οἵ τε ἀποδ[ό]μενοι Ἱεροκλῆς, Ἱερόκλεια, ‖ ὁ βεβαιωτὴρ Θεογένης. εἰ δέ τίς κα ἀνθάπτηται Κλεοῦς, κύριος ἔστω ὁ ἀντιτυχὼν [σ]υλέων ὡς ἐλευ|θέραν οὖσαν, καθὼς ἐπίστευσεν τὰν ὠνὰν τῶι θεῶι Κλεώ, ἀζαμίοις ὄντοις καὶ ἀνυποδίκοις πάσας δίκας καὶ ζαμίας. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος καὶ οἱ ἄρχοντες Ἀριστοκρά|της, Ἀρχίας, Δαμοφάνης, ἰδιῶται Δίων, Ἄθανβος, Καλλίερος, Διόδωρος, Ἄσανδρος.

W.-F. Z. 1 *Ἱερόκλεια, συνευδοκέοντος.* — 3 *θεῶι*, aber der Stein bietet hier ΘΕΩ, dagegen Z. 4 u. 6 *θεῶι.* — 4 *ἀποδόμενοι.* — 5 *συλέων.* — Nach *τὲ* Z. 4 wird *καί* vermisst. Dafür, dass es am Ende von Z. 4 ergänzt werden könnte, habe ich mir keine Bemerkung gemacht; so gab ich, was ich notierte, und zwar ohne *τὲ* als irrtümlich zugefügt durch ⟨ ⟩ zu bezeichnen, weil ich meine, dass der Steinmetz bewusst aus dem Polysyndeton ins Asyndeton überging (umgekehrt 1776, 16/17; 1784, 8). Inconsequenz trifft man ja soviel in diesen Denkmälern, hier z. B. noch *ἐπίστευσε* Z. 4, *ἐπίστευσεν* Z. 6 — mit dem seltenen *ν* (vgl. 1758, 5), noch dazu vor Consonanten —, dann °*ω* und *ωι*° im Dative (s. zu Z. 4), endlich die Wiederholung ein und desselben Sätzchens (Z. 3 u. 6). Zur Constr. in Z. 6 vgl. 1757, 16.

Zeit. Priesterschaft IV (170—157/6).

1779 *W.-F.* 114. C. v. B.

Ἄρχοντος Κλέωνος μηνὸς Ἡρακλείου, ἀπέδοτο Πραξὼ Ἐμμενίδα σῶμα γυναικεῖον | ἇι ὄνομα Λείριον τῶι Ἀπόλλωνι τῶ Πυθίω, συνευδοκέοντος Πραξία, καθὼς ἐπίστευσε | Λίριον τῶ θεῶ τὰν ὠνάν, ὥστε ἐλευθέραν εἶμεν τὸν πάντα χρόνον, ποιοῦσαν ὅ κα θέ[λ]η, | τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν. βεβαιωτὴρ κατὰ τὸν νόμον· Βάχιος Ἄγρωνος. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας Εὐδώρου, Ταραντῖνος Ἄρχωνος, | τῶν ἀρχόντων Ξένων Βούλωνος, ἰδιῶται Ἀνδρόνικος, Θευδωρίδας, Ἵππων, Ἧρυς, Πολύκλειτος, Καλλίερος.

Zu Z. 2 merken *W.-F.* S. 307 an: Après *Λείριον* un mot rayé. Den ausgeschlagenen Raum schätzte ich auf 6 Zeichen ab. Nun hat der Name selbst 7 Zeichen, es sind aber 2 Iota dabei, so dass ich für sicher ausgebe, dass der Steinmetz dittographisches *Λείριον* tilgte. Die Zeichenzahl stimmt sogar, nimmt man die Schreibung *Λίριον* an, die ja Z. 3 wiederkehrt (vgl. dazu 1763 Anm.). — Für die Dative in Z. 2 u. 3 geben *W.-F.* durchgängig *ῳ*, was unrichtig. — Es giebt solche Fälle, wo die Constructionen des nom. u. acc. c. inf. vermengt sind (z. B. 1783, 11), hier jedoch steht erst *ἐλευθέραν* und dann *ποιοῦσαν*: *W.-F.* nämlich *ποιοῦσα ὅ*

κα θέλῃ. — Den Namen des Bürgen habe ich unverändert gelassen, *W.-F.* schrieben *Βά[κ]χιος*. Aber warum? Und wenn nötig, nicht eher *Βάχ(χ)ιος*? (Vgl. 1772, 19 u. ö.).

Zeit. Priesterschaft IV (170—157/6).

1780 *W.-F.* 115. C. v. B.

Ἄρχοντος Κλέωνος μηνὸς Ἰλαίου, ἀπέδοτο Πάσιχον Μνάσωνος Δελφὰ τοῖ Ἀπόλλω|νι τῶι Πυθίωι σώματα τρία, τὰ μὲν δύο γυναικεῖα, τὸ δὲ ἓν ἀνδρεῖον, οἷς ὀνόματα Βοΐσκα, | Βοΐσκος, Ἀντιοχίς, τιμᾶς ἀργυρίου μνᾶν δέκα. βεβαιωτῆρες κατὰ τὸν νόμον· Ξένων | Πειθαγόρα, Ξένων Βουλίωνος Δελφοί. καθὼς ἐπίστευσαν τῶι θεῶι τὰν ὠνὰν Βοΐσκα, Βοΐσκος, || Ἀντιοχίς. μάρτυροι· οἱ ἱερεῖς Ἀμύντας, Ταραντῖνος καὶ οἱ ἄρχοντες Ἄσανδρος, Ξένων, κ(αὶ ἰ)διῶται | Ἄθαμβος Ἀθανίωνος, Καλλίερος, Ξενόκριτος, Πολύκλειτος, Ἀγησίλαος· ἐφ' οἷτε ἀνεφάπτο[υς] | εἶμεν καὶ αὐτὰν καὶ τὰ παιδάρια ἀπὸ πάντων τὸν πάντα βίον, ποιοῦντας ὅ κα θέλωντι | καὶ οἰκεούσας εἷ κα θέλωντι καὶ ἑρπούσας οἷς κα θέλωντι. εἰ δέ τις ἐφάπτοιτο τοῖς τρίοις, | ἔστω ὁ παρατυχὼν συλέων ὡς ἐλευθέρους [Zeile unvollendet gelassen].

W.-F. Z. 1 *τῷ Ἀπόλλωνι,* aber *τοῖ* steht auf dem Steine, dagegen *τῶι* Z. 2 u. 4. — 5 *Ξένων· ἰδιῶται,* Stein ΚΔΙΣ°, also hat der Steinmetz wohl *καὶ ἰδιῶται* einschlagen wollen. — Z. 6 *ἐφ' ὧιτε* st. *ἐφ' οἷτε* (s. zu Z. 1). — 7 *ποιούσας*, aber der Wechsel der Geschlechter ist gerade bemerkenswert. — Die Freilassungsurkunde für die Mutter *Βοΐσκα,* ihren Sohn *Βοΐσκος* und ihre Tochter *Ἀντιοχίς* erhielt dadurch, dass der Steinmetz die Namen der Zeugen gleich an die der beiden Bürgen anschloss, eine von dem sonstigen Formular abweichende Fassung. Er beeilte sich das Versäumte nachzutragen und fuhr nach Aufzählung der Zeugen mit *ἐφ' οἷτε* fort, das an das Sätzchen *καθὼς ἐπίστευσαν* — *Ἀντιοχίς* (Z. 4/5) anschliesst. Am Ende liess er Z. 9 unvollendet und benutzte den Raum nicht zur Nachtragung von *κύριος,* was wir verlangen, und von *ὄντας,* was gewöhnlich zu *ὡς ἐλευθέρους* hinzugefügt ist. Zur Not könnte man den Satz für abgeschlossen erklären, wenn man am Ende von Z. 8 *κύριος* hinzusetzte; ob *κύριος* da weggebrochen sein könnte, müsste am Steine nochmals nachgeprüft werden, da ich hierfür keine Notiz besitze. — Zu Z. 8. Der Dativ bei *ἐφάπτεσθαι* kommt auch bei Pindar vor. — Der erste Bürge ist, wie aus 1785, 2 hervorzugehen scheint, der Gatte der Freilasserin.

Zeit. Priesterschaft IV (170—157/6).

1781 *W.-F.* 116 C. v. B.

Ἄρχοντος Ξενέα μηνὸς Βοαθοίου, ἐπὶ τοῖσδε ἀπέδοτο Φίλων

Διοσκουρίδα τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναι|κεῖον ἇι ὄνομα Σύριον, τιμᾶς ἀργυρίου μνᾶ[ν] τριῶν, καθὼς ἐπίστευσε Σύριον τὰν ὠνὰν τῶι θεῶι. βεβαιωτ[ὴ]ρ κατὰ τοὺς | νόμους· Ἀστόξενος Διονυσίου. εἰ δέ τις ἐνάπτοιτο Συρίου, κύριος ἔσ[τ]ω ὁ [θέ]λων συλέων ἐ[π'] ἐλευθερία[ν] καὶ ὁ βε|βαιωτὴρ βεβα[ι]ούτω. παραμεινάτω δὲ Σύριον παρὰ Φίλωνα ἄχρι κα ζῇ Φίλων ποιοῦσα τὰ δυνατὰ πάντα καὶ νυ||κτὸς καὶ ἁμέρας. μάρτυροι· οἱ ἱερε[ῖ]ς τοῦ Ἀπόλλωνος Ταραντῖνος, Ἀμύντας καὶ οἱ ἄρχοντες Ἀριστοκράτης, Ἀρχίας, | Δαμοφάνης, ἰδιῶται Ξ[5/6 Z.]*ς Θεοξένου, Εὐάγγελος Πάτρωνος, Ἀπολλόδωρος Σωπ[άτρ]ου, Ἰατάδας Πάτρωνος.*

Der Name der Freigelassenen ist von *W.-F.* viermal unrichtig wiedergegeben worden; sie haben Z. 2 *Σίριον* (zweimal), Z. 3 *Σιρίου,* Z. 4 *Σίριον.* — *W.-F.* Z. 2 *μνᾶν,* dann *βεβαιωτήρ.* — 3 *ἔσ[τω ὁ θ]έλων συλέων ἐπ' ἐλευθερία[ν].* — 4 *βεβαιούτω,* am Ende *[δι]ὰ ν[υ]κτός,* aber der Stein hat, wie 1723, 11 u. 1729, 10, *καὶ νυ κτὸς κ. ἁ.* — 5 *ἱερεῖς.* — 6 *Ξ[. . . .] Θεοξένου, Εὐάγγελος*; ihre Ergänzung *Σωπ[άτρ]ου* ist gesichert; denn die obersten Ränder der ersten 2 zu ergänzenden Zeichen konnte ich noch erkennen, und durch 1782, 9/10 ist jeder Zweifel ausgeschlossen.

Zeit. Priesterschaft IV (170—157/6).

1782 *W.-F.* 117. C. v. B.

Ἄρχοντος Ξενέα μηνὸς Βοαθοίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀριστοκλῆς Σω[. . . (.)]α τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶ|μα ἀνδρεῖον ὧι ὄνομα Σωτίων, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε | Σωτίων τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τ[ὸ]μ πάντα βίον, ποιῶν ὅ κα θέλῃ. βεβα[ιωτ]ὴ[ρ κα]τὰ τοὺς νόμους· Ἁρμόδαμος Πολεμάρχου. βέβαιον δὲ παρεχέτωσαν τ[ὰ]ν ὠνὰν || τῶι θεῶι ὅ τε ἀποδόμενος Ἀριστοκλῆς καὶ ὁ βεβαιωτὴρ Ἁρμόδαμος. εἰ δέ τις ἐφάπτοιτο Σωτίωνος, κ[ύ]ριος | ἔστω [ὁ π]αρατυγχάνων συλέων ὡς ἐλεύθερον ὄντα Σωτίωνα ἀζάμιος [ἐ]ὼν πάσας δίκας | καὶ [ζα]μίας. μ[ά]ρτυ[ρε]ς· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος καὶ οἱ ἄρχοντες Ἀριστοκρά|της, Ἀρχίας, Δαμοφάνης, ἰδιῶται Ἀστόξενος Διονυσίου, Εὐκράτης | Καλλίκωνος, Ἄθανβος Ἀθανίωνος, Ἀπολλόδωρος || Σωπάτρου.

W.-F. Z. 1 *Βοαθ[οί]ου,* dann *Σω . . . α.* — 3 *τόμ.* — 4 *βεβα[ιωτὴρ κατ]ά,* am Ende *τὰν ὠνάν.* — 5 *κύριος.* — 6 *ἀζάμιος ὤν,* aber Stein °ΙΟΣ.ΩΝ, also *°ιος [ἐ]ών.* — 7 *[καὶ ζαμί]ας. μάρτυρες.* — 8 *[Ἀρχίας],* obwohl klar bis auf die zwei *α* (vgl. auch 1781, 5). — Z. 7 Stein ΑΡΧΟΝ▨ΤΕΣ, also

nach ν eine ausgeglättete Stelle, wo sich der Steinmetz offenbar verschlagen hatte.

Zeit. Priesterschaft IV (170—157/6).

1783 *W.-F.* 118. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν | Παναιτώλου, ἐν Δελφοῖς δὲ ἄρ[χ]ον|τος Ξενέα μηνὸς Ἡ[ρα]ίου, ἐπὶ τοῖσδε ἀπέ|δοτο Νίκαιος Νεί[κ]ωνος Ἐριναῖος τῶι ‖ Ἀπόλλωνι τῶι Πυθ[ί]ωι σῶμα γυναικεῖ|ον ἆι ὄνομα Κλε[α]γ[όρ]α, τιμᾶς ἀργυρίου | μνᾶν τ[ε]σσάρω[ν], κ[α]ὶ τὰν τιμὰν ἔχει, | καθὼς ἐπίστευ[σε Κ]λεαγόρα τῶι | θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλευθ(έ)ραν εἶ‖μεν καὶ ἀνέφαπτον ἀπὸ πάντων | τὸμ πάντα βίον, πο[ιέ]ουσα ὅ κα θέλῃ | καὶ ἀποτρέχουσα οἷς κα θ[έ]λῃι. | βεβα[ι]ωτῆρες κατὰ τ[ὸν ν]όμον· Φερέν[ικο]ς | Νικοβούλου, Σωκράτ[ης] Κλεωνύμου ‖ Ἐριναῖοι. εἰ δέ τίς κα ἅπτ[ητ]αι Κλεαγόρ[ας] | ἐπὶ καταδουλισμῶι, βέ[βαιο]ν παρεχόν|των τῶι θεῶι τὰν ὠν[ὰ]ν ὅ τε ἀπο|δόμενος Νίκαιος καὶ οἱ [βε]βαιωτῆρες | Φερένικος καὶ Σωκράτης· εἰ δέ κα μὴ πα‖ρέχωντι, πράκτιμοι ἐόντων κατὰ | τὸν νόμον· ὁμοί[ω]ς δὲ καὶ οἱ πα[ρ]α|τυγχάνοντες κύριοι ὄντων | συλέοντες ὡς ἐλευθέρα[ν] οὖσα|ν⟨οὖσαν⟩ ἀζάμιοι ἐόντες καὶ ἀνυ‖πόδικοι πάσας δίκας κα[ὶ] ζαμίας. | μάρτυρες· τοὶ ἱερεῖς τοῦ [Ἀ]πόλλω|νος Ἀμύντας, Ταραντῖ[ν]ος· Ἀριστ|οκράτης· Κλέων, Ἀρχέλαος, | Εὐκλείδας Δελφο[ί].

W.-F. Z. 2 *ἄρχοντος.* — 3 *Ἡραίου.* — 4 *Νίκωνος,* es steht aber *Νίκαιος Νεί[κ]ωνος* neben einander. — 5 *Πυθ[ί]ωι.* — 6 *Κλε[αγό]ρα.* — 7 *τεσσά-ρ[ων, κα]ί.* — 9 *ἐλευθέραν,* Stein °ΘΡ°. — 11 *π[οιέ]ουσα.* — 12 *θέλῃι.* — 13 *βεβαιωτῆρες κατὰ τὸν νόμον· Φερέν[ικ]ος.* — 14 *Σωκράτης* (vgl 1786,7). — 17 *ὠνάν.* — 18 *βεβαιωτῆρες.* — Zu Z. 20 merken *W.-F.* an: „*τόν,* gravé à la fin de la ligne 20, se trouve répété au commencement de la ligne 21. Plus bas, ligne 23, après le mot *ἐλευθέραν,* le lapicide a également gravé deux fois le mot ΟΥΣΑΝ." Nach *κατά* am Ende von Z. 20 sah ich nichts mehr, vor *τόν* in Z. 21 ist eine Steinverletzung, die man gewiss fälschlich auf ein *ν* bezog. Statt *ἐλευθέρ[α]|ν οὖσαν,* wie *W.-F.* geben, ist vielmehr zu lesen, was ich oben gebe. — *W.-F.* Z. 21 *ὁμοίως δὲ καὶ οἱ παρ[α]|.* — 24 *ἐόντες [καὶ ἀνυ]|.* — 25 *καὶ ζαμίας.* — 26 *Ἀπόλλωνος.* — 27 *Ταραντῖνος.* — 29 *Δελφοί.* — Der Z. 27 nach *Ταραντῖνος* zuerst genannte Zeuge ist wahrscheinlich der Archont *Ἀριστοκράτης*; vgl. 1782, 7.

Zeit. Priesterschaft IV (170—157/6).

1784 *W.-F.* 119. C. v. B.

Ἄρχοντος Θευξένου μηνὸς Δαιδαφορίου, ἐπὶ τοῖσδε ἀπέδο|το Κλέων Ξενοφίλου Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώμα|τα

τρία ἀνδρεῖα οἷς ὀνόματα Νικίας, Φιλόξενος, Ἀρίστων καὶ | τέταρτον γυναικεῖον ᾇι ὄνομα Αἴνησα, ἕκαστον τούτων τιμᾶς ‖ ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσαν Νικίας, Φιλόξενος, Ἀρίστων, | Αἴνησα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθεροι εἶμεν καὶ ἀνέφαπτοι ἀπὸ πάντων | τὸμ πάντα βίον. βεβαιωτῆρες κατὰ τὸν νόμον· Ἧρυς Πεισιθέου, Ἵππων Ἀθανίω|νος Δελφοί. παραμεινάντων δὲ Νικίας, Φιλόξενος καὶ Ἀρίστων καὶ Αἴνησα | παρὰ Κλέωνα ἄχρι κα ζώη Κλέων, ποιέοντες τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ‖ ἀνενκλήτως· εἰ δέ τί κα μὴ ποιήσωντι τῶν ποτιτασσομένων ὑπὸ Κλέωνος | καθὼς γέγραπται δυνατοὶ ἐόντες, ἐξέστω Κλέωνι κολάζειν τὸν μὴ ποιέον|τα τὸ ποτιτασσόμενον καθώς κα αὐτὸς θέλη καὶ ἄλλωι ὑπὲρ Κλέωνα ὅν κα Κλέων | κελεύση ἀζαμίοις ὄντοις καὶ ἀνυποδίκοις πάσας δίκας καὶ ζαμίας. εἰ δέ τί κα πάθη Κλέων, ἐλεύθεροι ἐόντων Νικίας, Φιλόξενος, Ἀρίστων, Αἴνησα κυριεύοντες αὐτοσαυ|τῶν καὶ ποιέοντες ὅ κα θέλωντι καὶ ἀποτρέχοντες οἷς κα θέλωντι, καθὼς | ἐπίστευσαν τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται ἐπὶ καταδουλισμῶι Νικία ἢ Φιλο|ξένου ἢ Ἀρίστωνος ἢ Αἰνήσας τελευτάσαντος Κλέωνος, βέβαιον παρεχόντων οἱ βε|βαιωτῆρες τῶι θεῶι τὰν ὠνὰν κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | κύριοι ἐόντων συλέοντες ὡς ἐλευθέρους ἐόντας ἀζάμιοι ὄντες καὶ ἀνυπό‖(καὶ ἀνυπό)δικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, | Ταραντῖνος καὶ τῶν ἀρχόντων Ἰατάδας, Ξένων Βούλωνος, ἰδιῶται Διόδωρος, Ἀστόξενος, | Ἄθαββος Ἀγάθωνος, Καλλίερος, Εὐκλείδας Καλλείδα, Ἀρισταίνετος, Ἀριστόμαχος Ἐτυμώνδα.

W.-F. Z. 1 *Θεοξένου.* — 7 *Ἀθανί ωνος* st. *Ἀθανίω|νος.* — 15 *καθώ[ς]*, *ς* ist verletzt. — Zu Z. 18 *παρατυγχάνοντες.* Das Zeichen nach °TY° kann *γ* u. *ν* sein. Es scheint, als ob der Steinmetz erst *ν* einschlug und dann *γ* daraus machte. — Die Dittographie Z. 20 merken *W.-F.* S. 307 an, ebenda die Form *Ἄθαββος*, für die sie im Texte *Ἄθα[μ]βος* geben. — Z. 21 geben sie *Τα[ρα]ντῖνος*, aber *ρα* ist klar. — Z. 22 füllt gerade die Zeilenlänge, darunter gleich, aber indem eingerückt ist, No. 1785.

Zeit. Priesterschaft IV (170—157/6).

1785 *W.-F.* 120. C. v. B.

Ἄρχοντος Θευξένου μηνὸς Ἀμαλίου, ἀπέδοτο | Πάσιχον Μνάσωνος, συνεπευδοκέοντος Ξένω|νος τοῦ Πειθαγόρα, τῶι Ἀπόλλωνι τῶι Πυθίωι | σῶμα ἀνδρῆον ὧι ὄνομα Σωσίας,

τιμᾶς ἀργυρίου ‖ μνᾶν τριῶν καὶ ἡμιμναίου, | καὶ τὰν τιμὰν ἔχει πᾶσαν, | καθὼς ἐπίστευσε Σωσίας | τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὧιτε | ἐλεύθερος εἶμεν καὶ ἀνέφα|πτος ἀπὸ πάντων τὸν πάν|τα βίον, ποιῶν ὅ κα θέλῃ. βε|βαιωτὴρ κατὰ τὸν νόμον | τᾶς πόλιος· Ἐκέφυλος Ἁγίω|νος κελεύοντος Ξένωνος ‖ τοῦ Πειθαγόρα. μάρτυρες· Τα|ραντῖνος ὁ ἱερεὺς τοῦ Ἀπόλ|λωνος· Πάτρων, Μένης, Φίλων, | Θε⟨υ⟩όξενος, Ὀρθαγόρας καὶ | τοὶ ἄρχοντες Φιλοκράτης, ‖ Πολέμαρχος, Ἄρχων.

W.-F. Z. 4 *ἀνδρεῖον*. — Z. 18 fehlt. — Nach Z. 20 noch behauener Raum und vorgezogene, aber unausgefüllte Linien. — Die Delphierin *Πάσιχον* weiht auch in No. 1780 Sclaven. *Ξένων*, der hier den Bürgen bestimmt, scheint ihr Mann zu sein, 1780, 3 ist er selbst Bürge. — Bemerkenswert neben sonstigem *ἀνδρεῖον* oder *ἀνδρέον* (1729, 5; 1758, 3) die Form *ἀνδρῆον*, dann das Versehen *Θενόξ°* in Z. 18; also der Steinmetz änderte seine Dialektform in die attische um, liess aber *υ* unausgeschlagen (vgl. Z. 1, ebenso 1722, 3 *Θεοδώραν*, 6 *Θευδώρα;* 1744, 1 *Θεόδωρος*, 6 *Θεύδωρος;* 2061 *Κλεοβούλα* Z. 2, *Κλευβούλα* Z. 10).

Zeit. Priesterschaft IV (170—157/6).

1786 *W.-F.* 121. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν Ἀρχεδάμου Φόλα τὸ τέταρτον, ἐν Δελ|φοῖς δὲ ἄρχοντος Σωσινίκου μηνὸς Βουκατίου, ἀπέδοτο Μίκκος Ἐριναῖ|ος σῶμα γυναικεῖον καὶ ἀνδρεῖον οις [ὀ]νόματα Ἀγαθόκλεια, Σώπολις | τὸ γένος οἰκογενεῖς, τῶι Ἀπόλλωνι τῶ[ι]⟨τῶι⟩ Πυθίωι, τιμᾶς ἀργυρίου μν[ᾶν] ‖ ἕξ, ὥστε ἐλευθέρους εἶμεν καὶ ἀνεφάπτους ἀπὸ πάντων τὸν πάν|τα βίον, καθὼς ἐπίστευσαν τὰν ὠνὰν τῶι Ἀπόλλωνι, διατρίβειν δὲ | Ἀγαθόκλειαν, Σώπολιν, εἴ κα αὐτοὶ θέλωντι. βεβαιωτῆρες· Σωκράτη[ς] | Κλεωνύμου, Φερένικος Νικοβούλου Ἐριναῖοι. μάρτυρες· οἱ ἱερεῖς τοῦ | Ἀπόλ(λ)ωνος Ἄθαμβος, Ἀμύντας, οἱ ἄρχοντες Γλαῦκος, Μνασίθεος, ‖ Διόδωρος, ἰδιῶται - - - - - - Σώπολις, Σώτακος Δελφοί, (Κ)αλλίερος.

W.-F. Z. 3 *ὀνόματα*. — 4 *τῶι Πυθίωι*, am Ende *μνᾶν*. — 7 *Σωκράτης* (vgl. 1783, 13). — 9 *Ἀπόλ[λ]ωνος*, Stein ΑΠΟΛΩ° (s. 1761, 4). — Zu Z. 10. Dass der Steinmetz nach *ἰδιῶται* 6 Zeichenplätze übersprang, hängt damit zusammen, dass hier der untere Rand des Feldes, auf dem die ganze Nummer steht, zu nahe schon an Z. 9 reichte. — Nach *Σώτακος* (d. i. *Σώ-τ-ακο-ς* Verf. Stud. I, 293) geben *W.-F.* *Δίας, Καλλίερος*, der Stein hat *Δελφοί*, (*K*)α°; *K* fehlt. — Nach Z. 10 Rand. Dann ein neues Feld, in dem 1787 steht.

Zeit. Priesterschaft III: August/September 174.

1787 *W.-F.* 122. C. v. B.

Στραταγέοντος ἐν Φωκέοις Ἀντιγένεος Ἀμφιδάμου Ἀμβρυ|σσίου μηνὸς πρώτου, ἐν δὲ Δελφοῖς ἄρχοντος Σωσινίκου το|ῦ Εὐδόκου μηνὸς Ἡραίου, ἐπὶ τοῖσδε ἀπέδοτο Κλεύξενος Δαμα|ινέτου Φανατεὺς τοῖ Ἀπόλλωνι τῶι Πυθίοι σῶμα γυναικεῖον ἆι ὄ||νομα Σωσίχα, τιμᾶς ἀργυρίου μνᾶν δύο, καθὼς [ἐ]πίστευσε Σωσίχα | τὰν ὠνὰν τῶι θεοῖ, ἐφ' ὧιτε αὐτὰν ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτ|ον τὸν πάντα βίον, ποιοῦσαν ὅ κα θέλῃ. εἰ δέ τίς κα ἐφάπτηται Σωσί|χας, κύριοι ὄντω οἱ ἄρχοντες καὶ οἱ ἱαρεῖς καὶ τοὶ περιτυνχάνοντες. | βεβαιωτήρ· Νικόστρατος Δημητρίου Φανοτεύς. μάρτυροι· τοὶ ἱαρε||ῖς τοῦ Ἀπόλλωνος Ἄθανβος, Ἀμύντας καὶ τοὶ ἄρχοντες Γλαῦκο|ς Ξένωνος, Μ[ν]ασίθεος Ταραντίνου, Διόδωρος Μνασιθέου, | ἰ[δ]ιῶται Ὀρέστας, Φαῖν(ι)ς Εὐχαρίδα, Ἀρχέλαος Δαμοσθένεος, Ἄρχων Νικ|οβούλου, Ὀρθαῖος Μαντία.

W.-F. Z. 3/4 *Δαμα|ρέτου.* — 5 *ἐπίστευσε.* — 11 *Μνασίθεος.* — 12 *ἰδιῶται,* dann *Φαίν[ι]ς,* Stein °ΝΣ. — Nach Z. 13 folgt der Rand des Polygons. — Z. 4 beginnt: [.]Ι\ΕΤ°, zu Anfang ein Loch, dann Jota ziemlich vollständig, hierauf *ν* verstümmelt, also ist *Δαμα|ινέτου* gesichert. — Die Beispiele von Inconsequenz sind in dieser Nummer sehr zahlreich: *τοῖ, Πυθίοι, θεοῖ* steht neben *τῶι, ὧιτε*; *οἱ* (Z. 8) zweimal neben *τοί* (Z. 8, 9); dialektisches *ἱαρεῖς* (Z. 8, 9) u. attisches *Δημητρίου* (Z. 9); *Φανατεύς* (Z. 4; vgl. 1715, 1; 1770, 1) u. *Φανοτεύς* (Z. 9); *Ἀμφιδάμου* (Z. 1) mit °*μφ*°, aber *Ἄθανβος* (Z. 10) mit °*νβ*° (vgl. *περιτυνχάνοντες* (Z. 8); Z. 8 fehlt die Fortsetzung des Gedankens; wir erwarten wenigstens noch *συλέοντες* (1759, 7).

Zeit. Priesterschaft III: October/November 174.

1788 *W.-F.* 123. C. v. B.

Ἄρχο[ντο]ς Κλέωνος μηνὸς Ἰλαίου, ἀπέδοτο Σώπολις Ἀσάνδρου | Δε[λ]φὸς τ[ῶι] Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνομα | Ἀντιγόνα, σ[υ]νευδοκέοντος καὶ τοῦ υἱοῦ Ἀσάνδρου, ἀργυρίου μνᾶν | τριῶν, καθὼς ἐπίστευσε Ἀντιγόνα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι ἐλευθέ||ρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον. παραμενέτω δὲ | Ἀντιγόνα παρὰ Σώπολιν ἕως κα ζῇ Σώπολις ποιοῦσα τὸ ποτιτασσόμενον | πᾶν τὸ δυνατὸν ἀνενκλήτως· εἰ δέ κα μὴ ποιῇ, κύριος ἔστω Σώπολις κολά|ζων Ἀντιγόναν ὧι κα θέλῃ τρόπωι ἢ ἄλλος ὅν κα Σώπολις κελεύῃ. | βεβαιωτῆρες κατὰ τὸν νόμον· Ἄσανδρος Σωπόλιος καὶ Ἀστόξενος Διο||νυσίου. εἰ δέ τις αὐτᾶς ἐφάπτοιτο ἐπὶ καταδουλισμῶι, κύριος ἔστω συλέ|ων ὁ παρατυχὼν ὡς ἐλευθέραν οὖσαν ἀζάμιος ὢν καὶ ἀνυπόδικος | πάσας

δίκας καὶ ζαμίας. μάρτυροι· οἱ ἱε[ρ]εῖς Ἀμύντας, Ταραντῖνος· Καλλί ερος, Καλλίας Ἐμμενίδα, Αἰακίδας Βαβύλου, Ἀρχέλαος Πυθοφάνεος, Ἀμυνέας.

W.-F. Z. 1 *ἄρχοντος.* — 2 *[Δελ]φὸς τῶι.* — 3 *συνευδοκέοντος.* — 12 *ἱερεῖς.* — 13 *Ἐχέ-* st. *Ἀρχέλαος* (vgl. 1790, 8). — In Z. 1 steht nach *Σώπολις*: ΑΝΔ, u. ΣΑ ist darüber nachgetragen; irrtümlich also *W.-F.*'s Bemerkung S. 308: „Les deux premières lettres du mot *Ἄσανδρος* sont au-dessus de la ligne“. — Z. 5 *W.-F.* *παραμεινέτω*: dafür ist entweder *παραμε⟨ι⟩νέτω* oder *παραμενέτω* zu schreiben; die scheinbare Hasta nach ΜΕ kann Riss sein. — Am Ende von Z. 8 kann man zweifeln, ob Jota noch eingeschlagen wurde. — Nach Z. 13 ist noch eine Zeile vorgezogen, aber nicht benutzt worden. Ein Querriss trennt No. 1788 von 1789.

Zeit. Priesterschaft IV (170—157/6).

1789 *W.-F.* 124. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν Ἀγελάου μηνὸς Δίου, | ἐν Δελφοῖς δὲ ἄρχοντος Λαιάδα μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε | ἀπέδοτο Πραξίδαμος Κράτητος Ἀμφισσεὺς σώματα γυναικεῖα | δύο αἷς ὀνόματα Δαζίμα καὶ Ἡσύχιον τῶι Ἀπόλλωνι τῶι Πυθίωι, τιμᾶς || ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, ὥστε ἐλευθέρας | εἶμεν καὶ ἀνεφάπτους ἀπὸ πάντων τὸμ πάντα χρόνον, καθὼς ἐπί|στευσαν τὰν ὠνὰν τῶι θεῶι, διατριβούσας εἷ κα αὐ[τ]αὶ θέλωντι. | βεβαιωτὴρ κατὰ τὸν νόμον· Λυσίπονος Ἀμφισσεύς. μάρτυρες· οἱ ἄρ|χοντες Βάκχιος, Ἀριστίων, Ἀμυνέας, ἰδιῶται Πραξίας, Ἀστόξενος || Δελφοί, Κλεύμαχος Χαραδραῖος, Μνασίδαμος, Εὔνικος, Εὐκλείδας, | Ἀρχέδαμος Ἀμφισσεῖς.

In Z. 5 liess der Steinmetz anfangs zwischen *καὶ τιμάν* den Artikel weg, trug ihn dann aber über der Zeile nach. — *W.-F.* Z. 7 *αὐταί.* — Die angefangene elfte Zeile blieb zu 3/4 frei; darauf folgt Nummer 1790.

Zeit. Priesterschaft IV: December/Januar 170/169.

1790 *W.-F.* 125. C. v. B.

Ἄρχοντος Λαιάδα μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ζώπυρος | Νίκωνος Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνο|μα Πύῤῥος, τιμᾶς ἀργυρίου στατήρων εἴκοσι, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, | καθὼς ἐπίστευσε Πύῤῥος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν || καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα βίον, ποιέων ὅ κα θέλη καὶ ἀπο|τρέχων οἷς κα θέλη. βεβαιωτὴρ κατὰ τὸν νόμον· Πολύων Σίμωνος | Δελφός. μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Τα-

ραντῖνος, | ἰδιῶται Δάμων Δεξώνδα, Ἀρχέλαος Πυθοφάνεος, Ἄσανδρος | Δι[ονυ]σίου, Εὐκλ⟨Εὐκλ⟩είδας Κ[(αλλ)]ε[ίδα].

Zu Anfang von Z. 3 schlug der Steinmetz ΩΙΟΝΟ dittographisch ein und setzte ΜΑΓΥΡΡΟΣ darauf: Μ steht auf Ω, zwischen Μ u. Α steht Jota, zwischen Α u. Γ blieb ο ungetilgt, Γ deckt sich mit ν, u. rechts unterhalb des υ sieht man noch das zweite Omikron. — Z. 5 schreibe ich mit *W.-F.* *τόμ*, aber das 3. Zeichen ist ausgebrochen und nicht mehr erkennbar; *μ* und *ν* möglich. — *W.-F.* Z. 9 *Εὐκλείδας Καλλείδα* ohne Notiz, der Stein hat aber *Εὐκλ⟨Εὐκλ⟩είδας* ΚΛΔΑΕ..., also nach °Ε 3 ausgeschlagene Zeichen; es hat gewiss *Καλλείδα* sein sollen. Als der Steinmetz mit dem Namen fertig war, merkte er, dass er sich mit dem 2.—4. Zeichen versehen hatte, fing an den Namen zu tilgen, that's aber nicht ganz. Darauf folgt nichts, Z. 9 blieb bis zu Ende frei. Ohne Zwischenraum beginnt unmittelbar darunter Nummer 1791.

Zeit. Priesterschaft IV: December/Januar 170/169.

1791 *W.-F.* 126. C. v. B.

Ἄρχοντος Λαιάδα μηνὸς Δαιδαφορίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀμύντας | Σωσία Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Γλαυκίας, | ὃ ἐπρίατο παιδάριον παρὰ Χαίριδος καὶ Εὐκαρπίδα Λεπαδέων, τιμᾶς ἀργυρίου μνᾶν | πέντε, καὶ τὰν τιμὰν ἔχει· βεβαιωτῆρες κατὰ τὸν νόμον· Ἄθαμβος Ἀθανίωνος, || Ἀνδρόνικος Πατρέα Δελφοί· ἐφ’ ὧιτε ἐλεύθερον εἶμεν Γλαυκίαν καὶ ἀνέφαπτον | [ἀ]πὸ πάντων τὸμ πάντα βίον καὶ ποιεῖν Γλαυκίαν ὅ κα θέλῃ αὐσαυτοῦ κυριεύοντα | καὶ ὄντα ἐλεύθερον, καθὼς ἐπίστευσε Γλαυκίας τὰν ὠνὰν τῶι Ἀπόλλωνι | τῶι Πυθί(ωι). κατενενκάτω δὲ Γλαυκίας τὸν· ἔρανον, τὸν συνᾶξαν Ἄθαμβος καὶ Εὐα|γόρας, τὸ ἥμισσον φέρων κατὰ τετράμηνον, στατῆρας πέντε καὶ δέκ’ ὀβολούς, || ἐπὶ τὸ Ἀμύντα ὄνομα, ἄχρι κα λήξῃ ὁ ἔρανος· εἰ δέ κα μὴ κατενέγκῃ, ἄκυρος ἔστω | ἁ ὠνά. μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος | καὶ οἱ ἄρχοντες Ἀριστίων, ἰδιῶται Ἀρχέλα[ο]ς Πραόχου, | Ἀρχέλαος Θηβαγόρα, Κλέων Δίωνος, Καλλίερος.

W.-F. Z. 6 *ἀπό*. — 8 *Πυθί[ωι]*, keine Lücke, sondern *ωι* ist vom Steinmetz übergangen worden. — Z. 9 *κατά* steht auf einer ausgeschlagenen Stelle. — *W.-F.* Z. 12 *Ἀρχέλαος*. — Nach Z. 13 ist behauener Raum bis zum Ende des Polygons.

Derselbe Freilasser begegnet 1800, 1. — Z. 12 steht der Nominativ statt des erwarteten *τῶν ἀρχόντων*; es fehlen *Βάκχιος* und *Ἀμυνέας* (1789, 9 u. 1792, 20). Vgl. 1690, 8; 1791, 12; 1891, 33.

Zeit. Priesterschaft IV: November/December 170.

1792 *W.-F.* 127. C. v. B.

Ἄρχοντος Λαιάδα μηνὸς Βοαθοίο[υ], | ἐπὶ τοῖσδε ἀπέδοντο Ξενοφάνεια Παρ|νασσίου, Τελεσὼ Μνασικράτεος, Κλέ|ων, Παρνάσσιος Κλευδάμου τῶι Ἀπόλλωνι ‖ τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἀρι(σ)τόλα, συνεπαινεόντων Κλευδάμου τοῦ Μανί|α καὶ Ξένωνος τοῦ Ἀτεισίδα, τιμᾶς ἀργυρίου | τριῶν ἡμιμναίων, καθὼς ἐπίστευσε Ἀριστόλα | τῶι θειῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν καὶ ‖ ἀνέφαπτον ἀπὸ πάντων τὸμ πάντα βίον. βεβαιωτὴρ | κατὰ τὸν νόμον τᾶς πόλιος· Ἀρχέλας Πυθοφάνεος. εἰ δέ | τίς κα ἅπτηται Ἀριστόλας ἐπὶ καταδουλισμῶι, | βέβαιον παρεχόντω τῶ θεῶ τὰν ὠνὰν οἵ τε ἀποδόμε|νοι Ξενοφάνεια, Τελεσώ, Κλέων, Παρνάσσιος ‖ καὶ ὁ βεβαιωτὴρ Ἀρχέλας· εἰ δέ κα μὴ παρέχωντι, πρά|κτιμοι ἐόντω κατὰ τὸν νόμον. [ὁ]μοίως δὲ καὶ οἱ παρα|τυγχάνοντες κύριοι ἐόντω συλέοντες ὡς ἐ|λευθέραν οὖσαν ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι | πάσας δίκας καὶ ζαμίας. μάρτυροι· οἱ ἄρχοντες ‖ Βάκχιος, Ἀριστίων, ἰδιῶται Σωτύλος, Ξένων, Μαν|τίας, Δάμων, Γλαῦκος, Νίκων.

W.-F. Z. 1 *Βοαθοίου.* — 5 *Ἀριστόλα,* Stein APITO°, ohne dass Sigma nachgetragen wurde, was gerade beim Namen in der Urkunde auffällig ist. — 13 *τῶι θεῶι,* aber beide Mal fehlt Jota. — 16 *ὁμοίως.* — 20 *Ἀρίστων* statt *Ἀριστίων,* was doch auch ein Vergleich mit 1789, 9 u. a. verlangt. — Nach Z. 21 mehrere vorgezogene, aber unbenutzte Linien.

Auffällig, dass 4 Personen Besitzer der *Ἀριστόλα* sind u. eigentlich 6 (vgl. Z. 6 u. 7) Personen freilassen. Es handelt sich aber nur um $1^1/_2$ Mine. — Z. 19 fehlen die Priester, vgl. 1791.

Zeit. Priesterschaft IV: September/October 170.

1793 *W.-F.* 128. C. v. B.

Στραταγέοντος τῶν Φωκέων Ἀριστοτέλεος Τειθρω|ν[ί]ου μηνὸς ἑβδόμου, ἐν Δε[λ]φοῖς δὲ ἄρχ[ο]ντος Ξενέα μηνὸς Ἐνδυσποιτροπίου, ἐπὶ [τοῖσ]δε ἀπέδοτο Ἁγίας Πολυξένου Λιλ(αιεὺς) | [τ]ῶι Ἀπόλ(λ)ωνι τῶι Πυθίωι σώματα δύο, ἀνδρεῖον καὶ γυναικεῖ‖ον, οἷς ὀνόματα Στρατονίκα καὶ Στρατόνικος, τιμᾶς ἀργυρίου | μνᾶν δύο ἡμιμναίου, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς | ἐπίστευσαν Στρατονίκα καὶ Στρατόνικος τῶι θ[ε]ῶι | τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθεροι εἶμεν καὶ ἀνέφ[α]πτοι | ἀπὸ πάντων τὸμ πάντα βίον, ποιέοντες ὅ κα θέλωντι καὶ ‖ ἀποτρέχοντες οἷς κα θέλωντι. βεβαιωτήρ· Εὐξίας Ξενοφῶ|ν(τ)ος, κατὰ τὸν νόμον. εἰ δέ τίς κα ἅπτηται Στρατο-

νίκας | ἢ Στρατονίκου, βέβαιον παρεχόντων τᾶι θεῶι τὰν ὠνὰν ὅ τε ἀ|ποδόμενος Ἁγίας καὶ ὁ βεβαιωτὴρ Εὐξίας· εἰ δέ κα μὴ παρέ|χωντι, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ || οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες Στρατο-|νίκαν καὶ Στρατόνικον ὡς ἐλευθέρους ἐόντας ἀζάμιοι | ἐόντες καὶ ἀνυπόδικοι πάσα[ς] δίκας καὶ ζαμίας. | μάρτυρες· τῶν ἀρχ[ό]ντων Πολύων Τιμοκλεῦς, Ξένων | Ἀτεισίδα Δελφοί· Ἀμυνέας Κρίτωνος, Ἀριστογένης || Νικέα, Πολύγνωτος Πολυξένου, Τιμοκράτης Ξένωνος, | Νικάνωρ Ἀγεμάχου Λιλαιεῖς.

W.-F. Z. 2 *ἐν Δελφοῖς δὲ ἄρχοντος.* — 3 *ἐπὶ τοῖσδε*, am Ende *Λι-[λ]α[ιε]ὺ[ς] τῶι* |, sichtbar nur ΛΙΛ; der Steinmetz wollte natürlich *Λιλαιεύς* einschlagen (vgl. Z. 21), aber er vergass es bei der Zeilenwende. Die nächste Zeile beginnt mit *[τ]ῶι.* — *W.-F.* Z. 4 *Ἀπόλλωνι*, einfache Consonanz oft, s. Index. — 7 *θεῶι.* — 8 *ἀνέφαπτοι.* — 10/11 *Ξενοφῶ|ν[τ]ος*, Stsin °ΩΝΟΣ (so auch S. 308 angemerkt). — 17 *πάσας.* — 18 *ἀρχόντων.* — Es folgt eine kleinere unbehauene Stelle, dann gleich ein Substruktionsblock.

Z. 6 fehlt zwischen den 3 Genitiven *καί*, wie bei Zahlen (vgl. 1794, 2), so auch 1805, 2 u. o.

Zeit. Priesterschaft IV (170—157/6). Das Archontat des *Ξενέας Βαβύλου* und die Buleuten des zweiten Semesters *Πολύων, Ξένων* [und *Δάμων*] sind z. B. durch 1728, 1729, 1750 bekannt.

1794 *W.-F.* 129. C. v. B.

Ἄρχοντος Ξενοχάρεος μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀρχιάδας Δεξιθέου Δελφὸς τῶι Ἀπόλ|λωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Φίλαγρος, τιμᾶς ἀργυρίου μνᾶν τριῶν καὶ ἡμιμναίου, καθὼς ἐπίστευ|σε Φίλαγρος τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα χ[ρ]όνον, | ποιῶν ὅ κα θέλη [κ]αὶ ἀπ[ο]τρέχων οἷς κα θέλη. βεβαιωτῆρες κατὰ τὸν νόμον· Ἀλκῖνος, Κλέων Δίω[ν]ος. εἰ δέ τίς κα ἅπτη||ται Φιλάγρου, βέβαιον παρε[χ]όντω τὰν ὠ[ν]ὰν τῶ θεῶ ὅ τε ἀποδόμενος Ἀρχιάδας καὶ οἱ βεβαιωτῆρες Ἀλκῖνος, Κλέων· | εἰ δέ κα μὴ παρέχωντι, πράκτιμοι ὄντω κατὰ τὸν νόμον Φιλάγρω τε αὐτῶ καὶ ἄλλω τῶ θέλοντι. μάρτυρες· οἱ ἱερεῖς | Ἄθαμβος, Ἀμύντας καὶ οἱ ἄρχοντες Ἀνδρόνικος, Δρομοκλείδας, Ἀλκῖνος, ἰδιῶται Αἰακίδας Φιλαιτώλου.

W.-F. Z. 3 *χρόνον.* — 4 *καὶ ἀποτρέχων*, dann *Δίωνος.* — 5 *παρεχόντω τὰν ὠνὰν τῶι θεῶι*, aber beide Male fehlt Jota adser. — Die Form *ἰδιῶται*

ist so geschrieben, dass IΩ neben einander steht und ΔI darüber klein nachgetragen ist. Zum Plural vgl. 1904, 12, dann 1791, 12.

Zeit. Priesterschaft III: December/Januar 176/175.

1795 *W.-F.* 130. C. v. B.

[Στ]ραταγέοντος τῶν Αἰτωλῶν Ἀρχεδάμου Φόλα τὸ τρίτον μηνὸς Βουκατίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ἀρχελάου μηνὸς Δαιδαφορίου, ἐπὶ τοῖσδε ἀπέδοτο Λαμπρίας | Παγκλέος Ὀμιαιάδας τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ὀλβία ἃμ πρότερον ἐπρίατο παρὰ Τελεσαγόρου καὶ ⟨Αρ⟩Ἀριστοβούλας, τιμᾶς | ἀργυρίου μνᾶν τεττάρων, καθὼς ἐπίστε[υ]σε Ὀλβία τῶ θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα χρό|νον, ποιοῦσα ὅ κα θέλῃ καὶ ἀποτρέχουσα οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον καὶ τὰν συμβολάν· Ξενέας Βαβύλου Δελφός. εἰ δέ τίς κα ἅπτηται Ὀλβίας ἐπὶ καταδου‖λισμῶι, ὑπόδικος ἔστω Ὀλβίαι. καὶ ὁμοίως βέβαιον παρεχέτω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀπο[δ]όμενος Λαμπρίας καὶ ὁ βεβαιωτὴρ Ξενέας· εἰ δέ κα μὴ παρέχωντι βέβαιον τὰν ὠ|νὰν τῶι θεῶι, ὑπόδικοι ἐόντω κατὰ τοὺς νόμους αὐτᾶι τε Ὀλβίαι καὶ ἄλλωι τῶι θέλοντι ὑπὲρ Ὀλβίαν. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύρι' ὄντω συλέοντες | Ὀλβίαν ἐλευθέραν οὖσαν καὶ ἐνδικαζόμενοι ἀζάμιοι [ὄ]ντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλ(λ)ωνος Ἄθαμβος, Ἀμύντας καὶ τοὶ ἄρ-|χοντες Βούλων, Μελισσίων, Ξένων.

W.-F. Z. 1 *στραταγέοντος.* — 2 *Ὀμιαιάδας*, es ist aber unentschieden, ob das 4. Zeichen *λ*, *δ* oder *α* zu lesen ist. — *Ἀριστοβούλας*, ohne Angabe der Dittographie, die der Steinmetz selbst tilgte. — 3 *ἐπίστευσε Ὀλβία τῶι θεῶι*, nach *τῶ* ist eine Lücke, so dass *τῶ[ι]* u. *τῶ* gelesen werden kann. Vielleicht fand der Steinmetz die Lücke schon vor, als er Z. 3 einschlug, und liess Jota weg, weil er das kleine Wort für's Auge nicht dadurch zerreissen wollte, dass er *τῶ* links u. Jota rechts von der Lücke setzte. — Z. 4/5 geben *W.-F.* *καταδου|[λ]ισμῶι*, aber das *λ* sah ich ganz klar. — *W.-F.* Z. 5 *ἀποδόμενος.* — 6 *κύρ[οι] ὄντω*, vgl. aber 1748, 12, Stein KYPI-ONTΩ ohne Lücke. — 7 *ὄντες*, dann *Ἀπόλλωνος*, auf dem Steine einfache Consonanz, s. Index.

Wie A. Mommsen zuerst sah, ist Z. 1 *τὸ τρίτον* ein Versehen des Steinmetzen; es muss nach 1843, 1 u. 1987, 2 vielmehr *τὸ τέταρτον* heissen.

Zeit. Priesterschaft III: November/December 175.

1796 *W.-F.* 131. C. v. B.

Ἄρχοντος Ἀρχέλα μηνὸς Ἡρακλείου, ἐπὶ τοῖσδε ἀπέδοτο

Θεύφιλος Εὐάρχου Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Πρόθυμος τὸ γένος Καππάδο|κα, τιμᾶς ἀργυρίου μνᾶν τεττάρων, καθὼς ἐπίστευσε Πρόθυμος τῶι θεῶι τὰν ὠνάν. βεβαιωτὴρ κατὰ τὸν νόμον· Καλλικλῆς Τίμωνος Δελφός. παραμεινάτω δὲ [Π]ρό|θυμος παρὰ Θεύφιλον ἄχρι κα ζώῃ Θεύφιλος, ποιέων τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατόν· εἰ δέ κα μὴ παραμείνῃ ἢ μὴ ποιῇ [τὸ πο]τιτασσόμενον δυνατὸς [ἐ]ών, κύριος ἔστω | Θεύφιλος κολάζων ὧι κα θέλῃ τρόπωι ἢ ὅν κα Θεύφιλος κελεύσῃ. ἐπεὶ δέ κα τελευτάσῃ Θεύφιλος, ἐλεύθερος ἔστω Πρόθυμος κυριεύων αὐτοσαυτοῦ καὶ ποιέων ὅ κα θέλῃ κα[ὶ] ἀπο||τρέχων οἷς κα θέλῃ, ποιήσας τὰ νομιζόμενα τὰ ἐν τὰν ταφὰν καὶ ἀλλαθεάδας, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται Προθύμου ἐπὶ καδουλι|σμῶι τελευτάσαντος Θευφίλου, βέβαιον παρεχέτω τῶι θεῶι τὰν ὠνὰν ὁ βεβαιωτ(ὴ)ρ Καλλικλῆς κατὰ τὸν νόμον. εἰ δέ κα μὴ παρέχῃ βέβαιον τὰν ὠνὰν τῶι θεῶι, πράκτι|μος ἔστω Προθύμωι τε αὐτῶι καὶ ἄλλωι τῶι θέλοντι ὑπὲρ Προθύμου. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύ[ρ]ιοι ἐόντων συλέοντες ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι ἐόντες καὶ ἀνυπό|δικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄθαμβος, Ἀμύντας καὶ τοὶ ἄρχοντες Ταραντῖνος, Καλλίας, Ἀρχέλαος, ἰδιῶται Χάρης, Καλλίερος, Μαντίας.

W.-F. Z. 2 *παραμεινάτω δὲ Πρό|θυμος.* — 3 [*τὸ*] *ποτιτασσόμενον δυνατὸς* [*ἐ*]*ών,* vor ΩΝ ist Bruch, so dass man auf *ὤν* u. [*ἐ*]*ών* raten kann. — 4 *ὅ κα θέλῃ καὶ ἀποτρέχων.* — Z. 5 versah sich der Steinmetz bei *ὠνάν,* indem er ΩΑΝ einschlug u. das fehlende *ν* dann zwischen *ω* u. *α* darüber setzte. — *W.-F.* Z. 5 *καταδουλισμῶι,* Stein *καδουλισμῶι,* was ich beibehalte, s. *κά* für *κατά* im Index. — 6 *βεβαιωτήρ,* Stein °ΩΤΡ, dann *εἰ δὲ μὴ παρέχῃ,* also ohne *κα,* was auf dem Steine nach *δέ* steht. — Z. 7 ein neues Versehen des Steinmetzen: er schlug ΘΕΟΝΤΙ ein und trug über *ε* u. *ο* das *λ* nach; ebenso bei *ὡς ἐλεύθερον,* wo er Σ nachtrug. — *W.-F.* Z. 7 *κύριοι.* — Sie rechnen von *ἰδιῶται* bis Schluss als Z. 9, die 4 Wörter bilden aber den Schluss von Z. 8.

Auffällig ist das Fehlen des Artikels in Z. 5 vor *ἀλλαθεάδας*; er steht in den Parallelstellen 1731, 10; 1775, 29, wo allerdings nicht *τὰ νομιζόμενα* davor steht und mit *ἀλλαθεάδας* verbunden ist. Ob lieber (*τὰς*) davor einzuschalten ist? Dass Versehen vorkommen, ist ja oben gezeigt.

Zeit. Priesterschaft III: Mai/Juni 174.

1797 *W.-F.* 132. C. v. B.

Ἄρχοντος Κλέωνος μηνὸς Ποιτροπίου, ἐπὶ | τοῖσδε ἀπέδοτο Πατρῷ Δείνωνος Δελ|φὶς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα

γυναι|κεῖον αι ὄνομα Καριὰς τὸ γένος Ἐλυμαίαν, τιμᾶς ‖ ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Κα|ριὰς τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέ[ρ]α | εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα | βίον, ποέουσα ὅ κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νό|μον τᾶς πόλιος· Μενέστρατος Εὐχαρίδα Δελ‖φός. μάρτ[υ]ρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύν|τας, Ταραντῖνος καὶ τῶν ἀρχόντων Ἧρυς, ἰδι|ῶται Δαμοσθένης, Πράξων, Λυκίδας, Μενε|κράτης, Μαντίας, Κλεύδαμος.

W.-F. Z. 6 *ἐλευθέρα.* — 10 *μάρτυρες.*

Zeit. Priesterschaft IV (170—157/6).

1798 *W.-F.* 133. *Ditt.* 459. C. v. B.

Ἄρχοντος Κλέωνος μηνὸς Ποιτροπίου, ἀπέδοτο | Θ[ε]υδώρα Πολύωνος, συνεπαινεόντων τ[ᾶ]ς | ἀδελφᾶς Ἡρακλείας καὶ Κλεώνδα τοῦ Κλευμά|χου, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ‖ ἇι ὄνομα Δαμαρχὶς τὸ γένος ἐνδογενῆ, τιμᾶς | ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχει. βε|βαιωτῆρες κατὰ τὸν νόμον· Μενέστρατος Εὐχα|ρίδα, Δρομοκλείδας Ἁγίωνος. καθὼς ἐπίστευσε | τῶι θεῶι τὰν ὠνὰν Δαμαρχίς, ἐφ' ὧιτε ἐλευ|θέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων | τὸμ πάντα βίον. παραμεινάτω δὲ Δαμαρ|χὶς παρὰ Θευδώραν ἕως κα ζῆ Θευδώρα π[οιέ]|ουσ[α] τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατόν. ὅσα | δ[έ] κα κτήσηται Δαμαρχὶς μένουσα παρὰ Θευ‖δώραν, Δαμαρχίδος ἔστω. ὁμοίως δὲ καὶ εἰ | γε[ν]εὰν ποιήσαιτο Δαμαρχὶς Θευδώρας βιούσας καὶ μένουσα παρὰ Θευδώραν, ἐλευθέρα ἔστ[ω] | καὶ ἀνέφαπτος ἁ γ[ε]νεὰ καθὼς καὶ Δαμαρχὶς | ἀπὸ πάντων τὸμ πάντα βίον, εἴτε καὶ ἓν γένοιτο αὐ‖τᾶι εἴτε καὶ πλείονα παιδάρια. μάρτυρες· οἱ ἱερεῖς τοῦ | Ἀπόλλωνος Ἀμύντας⟨τας⟩, Ταραντῖνος καὶ τοὶ ἄρ|χοντες Ἧρυς, Πασίων, Καλλίας, ἰδιῶται Εὐάγγελος, | Μαντίας Δαμοχάρεος, Φίλων Ἀριστέα, Μελισσί|ων.

W.-F. Z. 2 *Θευδώρα,* am Ende *τᾶς.* — 12/13 *ποι|[έ]ουσα,* aber der Rand von Z. 13 beginnt mit |*ουσ[α]*. — 14 *δέ κα,* am Ende *Θευδ|* statt *Θευ*; denn Z. 15 beginnt mit |*δώραν.* — 16 *γενεάν.* — 17 *ἔστω.* — 18 *γενεά.* — 20 *μάρτυροι· οἱ ἱερεῖς|.* — 21 |*τοῦ* zu Anfang, steht aber Ende von Z. 20 — 21 *Ἀμύντας,* ohne Angabe der Dittographie; 21 Ende *καὶ οἱ|.* — 22 |*ἄρχοντες,* während doch *ἄρ|* am Ende von Z. 21 steht; davor *τοί,* aber Z. 20 *οἱ.* — 22 *Καλλείδας* statt *Καλλίας.* Vgl. 1751, 6.

Bemerkenswert ist der Pleonasmus in der Verbindung *εἴτε καὶ — εἴτε καί*; der (offenbar unter Einwirkung von *ὥστε* u. a.) verblasste Be-

griff von τὲ wird erneuert, u. zwar an der gleichen Satzstelle, während man *καὶ εἴτε — καὶ εἴτε erwarten könnte.

Zeit. Priesterschaft IV (170—157/6).

1799 *W.-F.* 134. C. v. B.

Ἄρχοντος Σωσινίκου μηνὸς Βυσίου, ἐπὶ τοῖσδε ἀπέδοτο Λάρισα τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Μιθραδά[τ]ης τὸ γέ|νος, Καππάδοκα, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Μιθραδάτης τῶι θεῶι τὰν ὠνάν. βεβαιωτὴρ κα[τ]ὰ τ[ὸ]ν νό|μον [τ]ᾶς πόλιος· Μνάσων Ξένωνος Δελφός. παραμεινάτω δὲ Μιθραδάτης παρὰ Λάρισαν ἄχρι κα ζώη Λάρισα ἀνεγκλήτως [π]ο[ιέ]ων τὸ | ποτιτασσόμενον πᾶν τὸ δυνατόν· εἰ δὲ μὴ παραμείναι Μιθραδάτης ἢ μὴ ποέοι πᾶν τὸ πο[τ]ιτασσόμενον δυνατὸς εἰών, κυρία ἔσ[τ]ω Λάρισα κο||λάζουσα ὧι κα θέλη τρόπωι ἢ ὃν κα Λάρισα κελεύση, πλὰμ μὴ π[(ω)]λησάτω· εἰ δέ [τί] κα πάθη Λάρισα, ποιησάτω τὰ νομιζόμενα πάντα Μιθραδάτης ἐκ τῶν Λαρίσας | ἐξ ὧν κα ἔχη βέλτισ⟨τισ⟩τα ἐν τῶι πρώτωι ἐνιαυτῶι, εἴ κα ὁ καιρὸς αὐτῶι ἐκποιῆ, καὶ εἴ τί κα ἦται περισσὸν τῶν Λαρίσας, αὐτὸς ἐχέτω, εἴ κα μὴ ὁ υἱὸς αὐτᾶς ἐπανέλθη· | εἰ δέ κα ἐπανέλθη πρὸ τοῦ τὰ νομιζόμενα συντελέσαι, παραδοὺ⟨ο⟩ς Μιθραδάτης τὰ Λαρίσας πάντα τ[ῶι] υἱῶι τῶι Λαρίσας ἐλεύθερος ἔστω· εἰ δέ κα μὴ παρα[γένη]ται, ποιήσας τὰ νομιζόμενα Μιθραδάτης ἐλεύθερος ἔστω καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα χρόνον, κυριεύων αὐτοσαυτοῦ καὶ ἀποτρέχων οἷς κα θέλη· εἰ [δέ τίς]| κα ἅπτηται Μιθραδάτεος ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχέτω τῶι θεῶι τὰν ὠνὰν ὁ βεβαιωτὴρ Μνάσων· εἰ δέ κα μὴ παρέχηι βέβαιον τῶ[ι θ]εῶι τὰν ὠνάν, [πράκτι]||μος ἔστω Μιθραδάτει τε αὐτῶι καὶ ἄλλωι τῶι θέλοντι ὑπὲρ Μιθραδάτη κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντω συλέοντες Μιθραδάτην | ὡς ἐλεύθερον ὄντα ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι οἱ συλέοντες πάσας δίκας καὶ ζαμίας. μάρτυροι· οἱ ἱερεῖς Ἄθαμβος, Ἀμύντας καὶ οἱ ἄρχοντες Ἀλκῖνος, Ἀνδρομένης, Δρομοκλείδας, | ἰδιῶται Μαντίας, Φρῦνος, Καλλείδας.

W.-F. Z. 1 *Μιθραδάτης.* — 2/3 *κατὰ τὸν νό|μον τᾶς πόλιος.* — 3 *ποιέων*, deshalb ergänzte ich [π]ο[ιέ]ων, was auch dem Raume nach angeht, trotz *ποέοι* in Z. 4; vgl. Z. 5 *ποιησάτω.* — 4 *πᾶν τὸ ποτιτασσόμενον*, dann *ἔστω.* — Z. 5 liest man ΠΛΑΜΗ, u. *μ* ist darüber nachgetragen. Darauf bei *W.-F.* *πολησάτω*, ich habe darüber keine Notiz gemacht; möglicherweise nur Druckfehler, oder π[(ω)]λ°

zu schreiben. Letzteres findet sich auch in den Parallelstellen 1723, 17 u. 2019, 12. — *W.-F.* Z. 5 *εἰ δέ τί κα.* — 6 *βέλτιστα,* ohne Angabe der (allerdings vom Steinmetz selbst getilgten) Dittographie. — In Z. 6 versah sich der Steinmetz, indem er ΕΙΚΠΟΙΗ einschlug und ΚΑΟΚΑΙΡΟΣΑΥΤΩΙΕ darüber nachtrug. — *W.-F.* Z. 7 *παραδούς,* Stein wie oben, also Anfang zu einer Dittographie, die der Steinmetz durch Ausschlagen des *ο* selbst verbesserte. — *W.-F.* Z. 7 *Μιθραδάτης,* Stein *δτης,* u. *α* ist zwischen *δ* u. *τ* darüber nachgetragen; dann *τῶι υἱῶι,* am Ende *παρα[γ]ένη*, aber die Zeilenausgänge 7—9 sind jetzt unvollständig, und der Zeichenverlust steigt von 4 zu 5 u. 6, Z. 8 Ende nämlich *εἰ [δέ τις],* was *W.-F.* noch voll geben, Z. 9 [*πράκτι*]| — so auch schon *W.-F.* — In Z. 9 haben *W.-F.* *τῶι θεῶι,* Z. 11 rechnen sie *ἰδιῶται* als Schluss, es beginnt aber Z. 12.

Die Freilasserin ist consequent (nämlich 10mal) mit einfacher Consonanz geschrieben. — Das Verbum *ἐκποιεῖν* ist Z. 6 intr. gebraucht (= ausreichend sein). — Zu *ἦται* Z. 6 s. den Index, zur Thatsache, dass der Freigelassene erbt, 2100, 16.

Zeit. Priesterschaft III: Februar/März 173

1800 *W.-F.* 135. C. v. B.

Ἄρχοντος Σωσινίκου μηνὸς Ἐνδυσποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀμύντας Σωσία τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον | ὧι ὄνομα Πλάτωρ τὸ γένος Ἰταλόν, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καθὼς ἐπίστευσε Πλάτωρ τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα χρόνον, ποέων ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέλη. βεβαιωτὴρ κατὰ τὸν νόμον· Κλεόδαμος | Κλέωνος. εἰ δέ τίς κα ἅπτηται Πλάτορος ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἀμύντας καὶ ὁ βεβαιωτὴρ ‖ Κλεόδαμος· εἰ δὲ μή, πράκτιμοι ὄντω Πλάτορί τε αὐτῶι καὶ ἄλλωι τῶι θέλοντι ὑπὲρ Πλάτορα κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | κύριοι ὄντω συλέοντες Πλάτορα ὡς ἐλεύθερον ὄντα ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· οἱ ἱερεῖς Ἄθαμβος, Ἀμύντας | καὶ οἱ ἄρχοντες Ἀνδρομένης, Ἀλκῖνος, Δρομοκλείδας, ἰδιῶται Κράτων, Καλλίερος, Μαντίας.

Der Name des Freilassers, den man sich im Texte von *W.-F.* aus Z. 4 nach *ἀπέδοτο* ergänzen musste, steht wirklich Z. 1; *W.-F.* nur *ἀπέδοτο Σωσία.* Derselbe Mann übrigens 1791, 1. — Die Wörter *σῶμα ἀνδρεῖον* haben, wie andre dieser Inschrift, rote Farbenspuren. — *W.-F.* rechnen *Κλεόδαμος* zu Z. 4, es steht der Name aber Ende von Z. 3. — Zu Z. 5 merken *W.-F.* S. 308 an: l'inscription porte ΤΩΙ ΑΛΛΩΙ ΤΩΙ. Die Note ist aber unrichtig: es steht *τῶι* nicht vor *ἄλλωι,* sondern nur nach diesem.

Wahrscheinlich galt dem Griechen *Πλάτωρ* soviel wie „*Πλάτων*"; vgl. auch *Πλάτης*.

Zeit. Priesterschaft III: April/Mai 173.

1801 *W.-F.* 136. C. v. B.

Ἄρχοντος Σωσινίκου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Φίλων Τελεσάρχου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνομα Λέαινα, | τιμᾶς ἀργυρίου μνᾶν πέντε. βεβαιωτῆρες· Ἄθαμβος Ἀθανίωνος, Μενέστρατος Εὐχαρίδα Δελφοί. παραμεινάτω δὲ Λέαινα παρὰ Φίλωνα ἄχρι οὗ κα ζώη | Φίλων ἐργαζομένα καὶ ἀκούουσα Φίλωνος· εἰ δέ κά τι τούτων μὴ [π]οιῆ, ἐξουσία ἔστω Φίλωνι ποεῖν Λέαιναν ὅ κα θέλη. ἐπεὶ δέ κά τι πάθη Φίλων, | ἐλευθέρα ἔστω Λέαινα καὶ ἀνέφαπτος ἀπὸ πάντων κυριεύουσα αὐσαυτᾶς καὶ πράσσουσα ὅ κα θέλη, καθὼς ἐπίστευσε τὰν ὠνὰν τῶ θεῶ Λέαινα, ‖ ἐφ᾽ ὧτε ἐλευθέρα εἶμεν, καὶ ἐγδαμείτω οἷς κα θέλη, κατοικείτω δὲ ἐν Δελφοῖς καὶ στεφανωέτω τὰν Φίλωνος εἰκόνα καθ᾽ ἕκαστον μῆνα δὶς δαφνίνω | στεφάνω πλεκτῶ νουμηνίαι καὶ ἑβδόμαι. μάρτυροι· οἱ ἱερεῖς Ἄθαμβος, Ἀμύντας, οἱ ἄρχοντες Ἀλκεῖνος, | Ἀνδρομένης, ἰδιῶται Ταραντῖνος, Ἧρυς, Δείνων, Πολυκράτης, Καλλίερος, Λυκίδας, Ἐχεκλῆς.

W.-F. Z. 3 *ποιῆ*. — Die Inschrift ist sehr deutlich erhalten. Derselbe Freilasser 1807, 2, daselbst in Z. 19 ff. (= 2085, 5) derselbe Passus wie hier Z. 5. — Zu *στεφανωέτω* vgl. *ἀπαλλοτριώουσα* 1684, 8; 1718, 13, s. auch Index. — Bemerkenswert die Schreibung *ἐγ-δαμείτω* Z. 5.

Zeit. Priesterschaft III: Juni/Juli 173.

1802 *W.-F.* 137. C. v. B.

Ἄρχοντος Αἰακίδα μηνὸς Ἡρακλείου, ἐπὶ τοῖσδε ἀπέδοτο Δεξικράτης Μνασιθέου Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνομα Σόβαρον, | τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Σόβαρον τὰν ὠνὰν αὐσαυτᾶς τῶι Ἀπόλ(λ)ωνι, ἐφ᾽ ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων | τὸμ πάντα χρόνον, ποιοῦσα ὅ κα θέλη καὶ ἀποτρέχουσα οις κα θέλη. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Καλλικλῆς Τίμωνος Δελφός. ἐξέστω δέ, εἴ τις ἐφά|πτοιτο Σοβάρου, συλῆν τὸν ἐντυγχάνοντα ὡς ἐλευθέραν οὖσαν Σόβαρον ἀζαμίωι ὄντι καὶ ἀνυποδίκωι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλ‖λωνος Ἄθαμβος, Ἀμύντας καὶ οἱ ἄρχοντες Εὐκράτης, Ξενέας, Δαμοκράτης, ἰδιῶται Ἀρχέλας Πυθοφάνεος, Καλλίερος, Μαντίας Δαμοχάρεος Δελφοί.

.-*F*. Z. 2 *Ἀπόλ[λ]ωνι*, Stein °ΟΛΩ°, s. Index. — 3 *τὸν πάντα*. — Das Wort *ποιοῦσα* in Z. 3 ist tiefer in ausgeglätteten Raum hineingemeisselt, weil sich der Steinmetz offenbar versehen hatte. Nach *ποιοῦσα* noch ausgeglätteter Raum für 3 Zeichen. Aehnlich Z. 5 mit dem Namen *Ἄθαμβος*. Das *ϑ* hat nach l. u. r. auffällige Abstände vom *Α*; in ausgeglätteten Raum von der Breite zweier Zeichen setzte der Steinmetz, sich selbst corrigierend, das *ϑ* ein.

Zum Infinitiv *συλῆν* Z. 4 vgl. 1803, 3, 6; *συλήοντες* 2100, 10; 2107, 12. — Der Name *Σόβαρον* gehört zu [*Ἐμ*-]*βάρης*, [*Ἔμ*-]*βαρος* u. ist mit Aphäresis aus *Ἰσόβαρον* hervorgegangen (vgl. *Σο-μένης* u. a. Verf. Stud. 1, 148). — Bemerkenswert ist die Stellung *τὰν ὠνὰν αὐσαυτᾶς* Z. 2. — Zu Z. 3 vgl. 1803, 3.

Zeit. Priesterschaft III: Mai/Juni 172.

1803 *W.-F.* 138. C. v. B.

Ἄρχοντος Αἰακίδα μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Νίκων Θεοξένου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἰωνίς, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς | ἐπίστευσε Ἰωνὶς τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα χρόν(ον). βεβαιωτήρ· Κλεόδαμος Κλέωνος. ἐξέστω δέ, εἴ τις | ἐφάπτοι⟨τοι⟩το Ἰωνίδος, συλῆν τὸμ παρατυγχάνοντα ὡς ἐλευθέραν οὖσαν Ἰωνίδα ἀζαμίωι ὄντι καὶ ἀνυποδίκωι πάσας δίκας καὶ ζαμίας. ἀπέδο|το δὲ Νίκων Θεοξένου τῶι Ἀπόλλωνι τῶι Πυθίωι καὶ κορίδιον ἇι ὄνομα Ἡδύλα, τιμᾶς ἀργυρίου τριῶν ἡμιμναίων ἐπὶ τοῖσδε· ὥστε ἐλευθέραν εἶμεν ‖ καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸ⟨το⟩μ πάντα χρόνον Ἡδύλαν, νομιζομέναν θυγατέρα Δωρήματος καὶ ποέουσαν Δωρήματι ὅσα νομίζεται τοῖς γονέοις. | εἰ δέ τις ἐφάπτοιτο Ἡδύλας, ἐξουσίαν εἶμεν Δωρήματι καὶ ἄλλωι τῶι θέλοντι συλῆν Ἡδύλαν ὡς ἐλευθέραν ἀζαμίοις ὄντοις καὶ ἀνυποδίκοις πάσας | δίκας καὶ ζαμίας. βεβαιωτήρ· Κλεόδαμος. μάρτυροι· οἱ ἱερεῖς Ἄθαμβος, Ἀμύντας καὶ οἱ ἄρχοντες Εὐκράτης, Ξενέας, Δαμοκράτης, ἰδιῶται Ἀνδρόνικος | Φρικίδα, Ἀριστίων Ἄγωνος, Μαντίας [Δα]μοχάρεος, Καλλίερος.

W.-F. Z. 2 *χρόνον*, Stein nur ΧΡΟΝ. — 3 *ἐφάπτοιτο* u. 5 *τόμ*, ohne Notiz über die ausgeschlagene Dittographie. — 5 ohne *Ἡδύλαν* nach *χρόνον*, Stein ΗΔΥ▨ΛΑΝ, also nach ΗΔΥ ist ein dittographisches Zeichen getilgt; 5 Ende *γονε*[*ῦσι*], aber *γονέοις* ist deutlich. — 8 *Δαμοχάρεος*. — In Z. 6 vergass der Steinmetz das *ς* von *ἀζαμίοις*, trug es aber über Jota nach.

Der Verkäufer begegnet auch 1808, 24. — Zum Passus *ἐξέστω δέ* Z. 2 vgl. 1802, 3 ff.; zur Construktion vgl. 1724, 5; 1757, 16; 1778, 6; 1918, 12.

Zeit. Priesterschaft III: Juni/Juli 172.

1804 *W.-F.* 139. C. v. B.

Ἄρχοντος Κλευφάνεος μην[ὸ]ς Θευξενίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἰατάδας Πάτρωνος Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶ|μα γυναικεῖον ἇι ὄνομα Ἀφροδισία, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, συνεπαινεούσας καὶ Ἀρχίου. κατενεγκάτω δὲ Ἀφροδι|σία τὸν [ἔ]ρανον τὸν Βρομίου οὗ ἐγγυεύει Ἰατάδας μὴ ἀκαταβολέουσα μηδὲ καταβλάπτουσα Ἰατάδαν· εἰ δὲ μὴ κατενέγ|και Ἀφροδισία τὸν ἔρανον ἢ καταβλάψ⟨α⟩αι τι Ἰατάδαν ἐκ τοῦ ἐράνου, ἀτελὴς καὶ ἄκυρος ἁ ὠνὰ ἔστω ἁ τῶ θεῶ. ἐλευθέρα || δὲ ἔστω Ἀφροδισία τὸμ πάντα χρόνον, ποιήσασα τὰ γεγραμμένα τὰ ἐν τᾶ συγγραφᾶ, καὶ ἀνέφαπτος ἀπὸ πάντων | τὸμ πάντα χρόνον. βεβ[αι]ω[τῆ]ρες κατὰ τὸν νόμον τᾶς πόλιος· Ἀρίστων Νικοδώρου, Νικόδωρος Ἀρίστωνος, Μαντίας | Κλευδάμου. εἰ δέ τις ἅ[π]τ[ο]ιτο Ἀφροδισίας ἐπὶ καταδουλισμῶ κατενεγκάσας τὸν ἔρανον καθὼς γέγ[ρα]πται καὶ ἀβλα|βέος γενομένου Ἰατάδα ἐκ τᾶς ἐγγύας, παρεχόντω βέβαιον τῶ θεῶ τὰν ὠνὰν ὅ τε ἀποδόμενος [Ἰατάδα]ς καὶ [ο]ἱ βεβαιω|τῆρες Ἀρίστων, Νικόδωρος, Μαντ[ία]ς. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύρι' ἔστω συλέοντ[ες Ἀφροδισί]αν ὡς ἐλευ||θέραν οὖσαν ἀζάμιοι καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· οἱ ἱερεῖς τοῦ [Ἀπόλλωνος Ἀ]θαμβος, | Ἀμύντας καὶ ὁ ἄρχων Μελισσίων, ἰδιῶται Φίλων, Καλλίερος, Κλευφάνης.

W.-F. Z. 1 *μηνός*. — 3 *τὸν ἔρανον*. — Nach *Βρομίου* Z. 3 sind 2 Zeichen völlig getilgt, wohl dittographisches ⟨*ου*⟩. — *W.-F.* Z. 4 *καταβλάψαι*, aber nach *ψ* noch Λ, das unvollendet blieb, dann erst *αι*. — 5 *τὸν πάντα*, nach *γεγραμμένα* fehlt *τά*. — 6 *βεβαιωτῆρες*. — 7 *ἅπτοιτο*, dann *καταδουλισμῶι*, am Ende *γέγραπται*. — 8 [*Ἰατάδας*] *καὶ οἱ βεβ°*. — 9 *Μαντίας*, Ende *ἐ|λευθέραν*, vielmehr *ἐλευ|θέραν*. — 10 [*Ἀπόλλωνος*] *Ἄθαμβος*.

Z. 9 haben *W.-F.* die Ueberlieferung *οἱ παρατυγχάνοντες* ΚΥΡΙΕΣΤΩΣΥΛ° geändert in *κύρι[οι] ἔ[όν]τω συλέοντ[ες]* u. damit einen schönen Rest des Satzsandhi vernichtet. Ueber *κύρι'* s. 1748, 12, u. *ἔστω* für *ἔστων* vor Σ ist nach der allgemeinen Regel (s. 1832, 21); man könnte beide Worte an einander rücken *ἔστωσυλέοντ[ες]* oder *ἔστω(ν) συλέοντ[ες]* schreiben. — *Ἄρχιον* Z. 2 ist Frau oder Tochter des Freilassers. — Der Ausdruck *ἁ ὠνὰ ἁ τῶ θεῶ*, der mit *ὠνὰ τοῦ θεοῦ* wechselt (1730, 7; 1731, 11, vgl. 1749, 6), hat in *ἐπὶ ἱεραπόλου τοῖ Ἀ π ό λ λ ω ν ι, γραμματέος τᾶι β ο υ λ ᾶ ι* (GDJ. 1379, 1, 3) u. a. Analogien.

Zeit. Priesterschaft III: März/April 171.

1805 *W.-F.* 140. C. v. B.

Ἄρχοντος Πύῤῥου μηνὸς Βοαθόου, ἐπὶ τοῖσδε ἀπέδοτο Δαμοσθένης Ἀρχέλα Δελφός, συνεπαινεόντων καὶ τῶν υἱῶν αὐτ[οῖ] . . . . ., Κλέωνος, | κατὰ τὸν νόμον τᾶς πόλιος σῶμα ἀνδρεῖον οἷ ὄνομα Κτήσων, τιμᾶς ἀργυρίου μνᾶν δύο στατήρων εἴκοσι, καὶ τὰν τιμὰν [ἔχει πᾶσα]ν, καθὼς | ἐπίστευσε Κτήσων τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα βίον, ποιέων ὅ κα θέλῃ. [βεβαιω]τὴρ | κατὰ τὸν νόμον· Ἄσων Νικοβούλου. εἰ δέ τίς κα ἅπτηται Κτήσωνος ἐπὶ καταδουλισμῶι, [β]έβαιον παρεχόντων τῶι θ[εῶι τὰν] ὠν[ὰν] ὅ τε ‖ ἀποδόμε[ν]ος Δαμοσθένης καὶ οἱ βεβαιωτῆρες. εἰ δέ κα μὴ παρέχωντι, πράκτιμοι ἐόντων | κατὰ τὸν νόμον τᾶς πόλιος. ὡσαύτως δὲ καὶ οἱ παρατυγχάνοντες κύρι[ο]ι ἐόντων | συλέοντες ὡς ἐλεύθερον ὄντα. μάρτυρες· ὁ ἱερεὺς Ταραντῖν[ο]ς, ἰδιῶται | Καλλίστρατος, Εὐκλείδας, Μένης, Ἀνδρομένης.

W.-F. Z. 1 αὐτ[οῦ], könnte freilich auch Anfang eines Namens sein. — 3 θέλη, möglich auch θέλη[ι]. — In Z. 3 versah sich der Steinmetz, indem er die Silbe πο wegliess und ΑΠΑΝ° einschlug, später trug er πο über ΑΠ nach. — *W.-F.* Z. 4 Κλέων Νικοβούλου, ich sah nur ΑΣΩΝ, also Ἄσων oder höchstens (Κ)[(λ)]έων. — 4 βέβαιον, dann ὠ[νά]ν st. ὠν[άν]. — 5 ἀποδόμενος, am Ende ἐόντ[ων], aber das Wort ist klar. — 6 κύριοι. — 7 Ταραντῖνος. — Der Fehler οἱ βεβαιωτῆρες (vgl. Z. 3) steht Z. 5 auf dem Steine. — Nach Z. 8 ist noch behauener, aber unbenutzter Raum bis zum Rande des Polygons.

Zeit. Priesterschaft IV (170—157/6).

1806 *W.-F.* 141. C. v. B.

Ἄρχοντος Μένητος μηνὸς Ἡραίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Ἐργασίων | Σίμωνος τῶι Ἀπόλλωνι τῶι Πυθί|ωι σῶμα γυναικεῖον ἇι ὄνομα Νι‖καία, τιμᾶς ἀργυρίου μνᾶν δύο, καθὼς | ἐπίστευσε τῶι θεῶι τὰν ὠνὰν | Νικαία, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν | καὶ ἀνέφαπτον ἀπὸ πάντω[ν] τὸν | πάντα βίον, ποιέουσαν ὡς πατέρι Ἐργα‖σίωνι τὰ νομιζόμενα· βεβαιωτὴρ κατὰ | τὸν νόμον· Ἀμφίστρατος Ἀμφιστρί|του· συνεπαινεούσας τᾶ(ς) ματρὸς | Καλλιβούλας. εἰ δέ τίς κα ἅπτηται | Νικαίας, βέβαιον παρεχόντων τῶι ‖ θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος | Ἐργασίων καὶ ὁ βεβαιωτὴρ Ἀμφίστρα|τος. εἰ δέ κα μὴ παρέχωντι, πράκτιμοι | ἐόντων κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ | οἱ παρατυγχάνοντες κύριοι ἐόντων ‖ συλέοντες ὡς ἐλευθέραν οὖσαν | ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας | δίκας καὶ ζαμίας. μάρτυρες· τοὶ ἱερεῖς | τοῦ Ἀπόλλωνος Ἄθαμβος, Ἀμύντας· | Ἀν-

δρόνικος Πατρέα, Εὐκλείδας ‖ Καλλείδα, Βούλων Πεισιστράτου, | Ζώπυρος.

W.-F. Z. 8 *πάντων.* — 9/10 *Ἐργασίωνι | τά.* — 12 *τᾶ[ς] ματρός*, Stein ΤΑΜΑ°; vor *συνεπαινεούσας* haben sie eine starke Interpunktion. Ich behalte sie bei, weil ich den gen. abs. als Nachtrag zu *ἀπέδοτο* ansehe und nicht mit dem Namen des Bürgen und seiner Wahl verbinde. — In Z. 18 schlug der Steinmetz zuerst das dialektische *κατὸν* ein und setzte dann über *ατ* noch *τα*, damit man *κατὰ τὸν* lesen solle. — Der Rest der Zeile 26 ist freigelassen, dann folgt mit kleineren Zeichen die Nummer 1807.

Zeit. Priesterschaft III: October/November 171.

1807 *W.-F.* 142. C. v. B.

Die Inschrift ist mehrfach lädiert. *W.-F.* geben Z. 1 in Klammern *Εἰ[λαίου, ἐπὶ]*, aber das Jota sah ich noch, während ich vor der Lücke und am Ende mehr abgebröckelt fand. — Z. 2 *Δελ[φοῖς οἰκέων]*. — 3 *ὄνο[μ]α [Ἵλαρο]ν*, aber *μ* fand ich noch vor, ebenso das *ο* vom Namen. — 4—9 nichts in Klammern. Wer sich die Lücken auf Grund obigen Textes vergegenwärtigt, sieht, wie die Verletzung nach l. und nach unten zu sich vergrössert hat. — Am Schlusse von Z. 11 versah sich der Steinmetz, er schlug ΑΜΥΜ|ΤΑΣ ein. — Die Zeichen *καταδ°* (Z. 7) stehen auf einer Correktur, wahrscheinlich hatte der Steinmetz zuerst *ἄπτη°* eingeschlagen. — Die 13. Zeile reicht bis *Βούλων*, das übrige Stück der Zeile ist unbenutzt gelassen.

Zeit. Priesterschaft III: Juni/Juli 176.

1835 *W.-F.* 170. C. v. B.

Ἄρχοντος Πύῤῥου μηνὸς Ἀπελλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ξένων Πειθαγόρα τῶι Ἀπόλλωνι τῶι | Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Σωσίας, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων ἡμιμναίου, καὶ τὰν | τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Σωσίας τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν | καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, (ἀποτρέχων) ἇ κα θέλη, ποιέων ὅ κα θέλη. βεβαιωτὴρ ‖ κατὰ τὸν νόμον τᾶς πόλιος· Ἀστόξενος Διονυσίου ⟨ἇ κα θέλη⟩. μάρτυρες· ὁ ἱερεὺς τοῦ | Ἀπόλλωνος Ταραντῖνος, ἀρχόντων Ἄθανβος, ἰδιῶται Εὐκλείδας, Μένης, Βαβύ|λος, Ἀμυνέας, Ἀντιχάρης, Ἄνδρων.

W.-F. nehmen *τῶι* nach Z. 2, es schliesst damit Z. 1 ab. — 4 *βίον, ἇ κτλ.*, aber man wird schwerlich um die Einsetzung von *ἀποτρέχων* nach *βίον* herumkommen. Dass *ἇ κα θέλη* in der Vorlage stand, beweist die Wiederholung der Formel an unrechter Stelle in der nächsten Zeile; wegen des

ähnlichen Ausgangs von *βίον* und *Διονυσίου* passierte dem Steinmetzen das Abirren des Auges von Z. 5 nach Z. 4. *ἆ κα θέλη* aber geben die Formulare immer nur abhängig von *ἀποτρέχω* (z. B. 1824, 5; 1825, 5), und so nahm ich (*ἀποτρέχων*) in den Text auf; denn die Beziehung des Sätzchens (über *ἀνέφαπτος* weg) auf *ἐλεύθερος* scheint mir gekünstelt, weil der etymologische Sinn von *ἐλεύθερος* verblasst war. Das Asyndeton ist dasselbe wie in Z. 6. Weshalb der Steinmetz sparte, ist nicht ersichtlich; denn von den vorgezogenen Linien blieben nach der siebenten noch 3 frei und unbenutzt. Nach dem in Rede stehenden Sätzchen *ἆ κα θέλη* ist übrigens eine kleine Lücke, in der Jota gestanden haben könnte, also möglicherweise *θέλη[ι]* neben *θέλη* in derselben Zeile, wie so oft.

Zeit. Priesterschaft IV (170—157/6).

1836 *W.-F.* 171.

Ἄρχοντος Κλέωνος μηνὸς Βουκατίου, ἐπὶ τοῖσδε ἀπέδοτο Νικὼ Χαριξένου τῶι Ἀπόλλωνι τῶι | Πυθίωι σώματα ἀνδρεῖα δύο οἷς ὀνόματα Σωσίβιος, Σωτίων καὶ γυναικεῖον ἓν κοράσιον ὧι ὄνομα | Σωσώ ἐνδογενεῖς, τιμᾶς ἀργυρίου μνᾶν δεκαδύο. βεβαιωτῆρες κατὰ τὸν νόμον· Ἀνδρόνικος Πατρέα, | Ἀστόξενος Διονυσίου Δελφοί. παραμεινάντω δὲ Σωσίβιος, Σωτίων, Σωσὼ παρὰ Νικὼ ἄχρι κα ζώη Νικὼ ‖ ποέοντες τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως· εἰ δέ τί κα μὴ ποέωντι τῶν ποτιτασσο|[μέ]νων ὑπὸ Νικοῦς καθὼς γέγραπται δυνατοὶ ἐόντες, ἐξέστω Νικοῖ κολάζειν καθώς κα αὐτὰ θέ|λη καὶ ἄλλω ὑπὲρ Νικὼ ἀζαμίοις ὄντοις καὶ ἀνυποδίκοις πάσας δίκας καὶ ζαμίας. εἰ δέ τί κα πάθη Νικώ, ἐλεύ|θεροι ἐόντω Σωσίβιος, Σωτίων, Σωσὼ κυριεύοντες αὐτοσαυτῶν καὶ ἀποτρέχοντες οἷς κα θέλωντι καὶ ποέον|τες ὅ κα θέλωντι, καθὼς ἐπίστευσαν τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται Σωσιβίου ἢ Σωτίωνος ἢ Σωσοῦς ‖ ἐπεί κα τελευτάση Νικώ, βέβαιον παρεχόντω οἱ βεβαιωτῆρες τῶι θεῶι τὰν ὠνὰν κατὰ τὸν νόμον. ὁμοίως | δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ὄντω συλέοντες ὡς ἐλευθέρους ὄντας ἀζάμιοι ὄντες καὶ ἀνυπό|δικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος, τῶν δὲ ἀρχόν|των Ἧρυς Πλείστωνος, ἰδιῶται Κριτόλαος, Ἐ(χέ)φυλος, Φιλοκράτης, Ξένων, Νεύστρατος, Ἄσανδρος, | Ἀριστόμαχος Ἐτυμώνδα.

S. Anmerkung zu 1810.

Z. 2 ist *κοράσιον* Erläuterung zu *σῶμα γυναικεῖον ἕν,* wie 1832, 18 *τὰ ἔτη τὰ ὀκτὼ* zu *ὁ χρόνος.* — Für Z. 13 merken *W.-F.* auf S. 308 an: *Ἐ[χέ]φυλος.* Inscr. ΕΦΥΛΟΣ. In der Form *Ἐχέφυλος* steht der Name z. B. 1686, 13.

Zeit. Priesterschaft IV (170—157/6).

1837 *W.-F.* 172.

Ἄρχοντος Κλέωνος μηνὸς Ἡ[ρακλεί]ου, ἐπὶ τοῖσδε ἀπέδοντο Εὐδαμίδας Σωκρά|τεος καὶ Στραταγὶς Εὐαρχίδα σῶμα ἀνδρεῖον ὧι ὄνομα Δικαίαρχος καὶ ἄλλο γυναικεῖον | ἆι ὄνομα Λαοδίκα, τιμᾶς ἀργυρίου μνᾶν δέκα, καθὼς ἐπίστευσαν Δικαίαρχος | καὶ Λαοδίκα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ἆιτε ἐλευθέρους εἶμεν καὶ ἀνεφάπτους ἀπὸ πάν||των τὸμ πάντα βίον. καὶ εἴ τις ἐνάπτοιτο αὐτῶν, ὁ παρατυχὼν συλέων κύριος ἔστω καὶ οἱ βεβαιωτῆ|ρες βεβαιούντων τῶι θεῶι τὰν ὠνάν. εἶμεν δὲ ἐλευθέρους αὐτοὺς ἀπὸ τᾶσδε τᾶς ἁμέρας, ποέον|τας ὅ κα θέλωντι [.................]. βεβαιωτῆρες· Νικόλαος Ἀμφισσεύς, | Ἄσανδρος Ξένωνος Δελφός. μάρτυρες· [οἱ] ἱερεῖς Ἀμύντας, Ταραντῖνος καὶ οἱ ἄρ|χοντες Ἄσανδρος, Ξένων, ἰδιῶται [..]ων, Μαντίας, Δίων, Ἀρχέλαος.

S. Anmerkung zu 1810.

Für die Lücke in Z. 7 geben *W.-F.* 17 Punkte an, für die in Z. 9 drei. Falsch ist die Ergänzung Ἡ[ραί]ου Z. 1; denn im 2. Semester (1780, 5) beginnt nur Ἡράκλειος mit *H*.

Zeit. Priesterschaft IV (170—157/6).

1838 *W.-F.* 173. C. v. B.

Ἄρχοντος Ἄρχωνος τοῦ Καλλία μηνὸς Ποιτροπίου, ἀπέδοτο Αἴνησα Αἰνέα Δελφίς, συνευδοκέοντος καὶ τοῦ υἱοῦ Ἀστία, | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνομα Πα[ρ]αμονὰ τὸ γένος | οἰκογενῆ⟨ι⟩, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχει, καθὼς ἐπίστε[υ]||σε Παραμονὰ τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφα|πτον ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιέουσαν ὅ κα θέλη καὶ ἀποτρέχου[σαν] | οἷς κα θ[έ]λη. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Ἀστίας Ἀμινία. εἰ δέ τις ἐφά[πτοι]|το Παραμονᾶς ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰ[ν ἅ τε] | ἀποδομένα Αἴνησα καὶ ὁ βεβαιωτὴρ Ἀστίας· εἰ δὲ μὴ παρέχοιν βέβα[ιο]ν τὰν ὠνὰν || τῶι θεῶι, πράκτιμοι ἐόντ⟨ι⟩ων κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ ο[ἱ] παρατυγ|χάνοντες κύριοι ἐόντων συλέοντες ὡς ἐλευθέραν [ἐ]οῦσαν ἀζάμι|οι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· ὁ [ἱε]ρε[ὺ]ς τοῦ Ἀπόλ|λωνος Ἀμύντας καὶ τοὶ ἄρχοντες Πεισίθεος, Ἄθαμβος Ἀθανίωνος, Ἄθαμβος Ἀγά|θωνος, ἰδιῶται Χαρίξενος Ἀλέξωνος, Φιλοκράτης Θευφράστου, Ἀντιχάρης Ἀζα||ράτου, Τιμόκριτος.

W.-F. Z. 3 *Παραμονά.* — 4 im Text *οἰκογενῆ*, S. 308 die Notiz über fälschlich hinzugesetztes Jota (vgl. dazu 1751, 1; 1819, 9 u. a.). — 4 Ende *ἐπίστε-* st. *ἐπίστε[ν]*|, denn Z. 6 beginnt mit |*σε*. — 7 *θέλη*, am Ende *ἐφάπ[τοι]|το*, ich fand 4 Buchstaben weggebrochen, wie Z. 8. — 9 *βέβαιον*. — 10 *ἐόντων*, ohne Notiz über das falsche Jota; am Ende *οἱ*. — 11 *ἐοῦσαν*. — 12 *ὁ ἱερεύς*.

Zeit. Priesterschaft IV (170—157/6). Z. 13 ist zwar nur *Ἀμύντας* genannt, sein College wird aber durch Nummer 1839 (Z. 15) bestimmt, die nur 4 Monate jünger ist.

1839 *W.-F.* 174. C. v. B.

Ἄρχοντος Ἄρχωνος τοῦ Καλλία μηνὸς Βουκατίου, ἐπὶ τοῖσδε | ἀπέδοτο Αἰακίδας Φιλαιτώλου Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθί|ωι σῶμα γυναικεῖον ἆι ὄνομα Σωτηρὶς τὸ γένος Θρᾷισσαν, τιμᾶς | ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπί||στευσε τῶι θεῶι τὰν ὠνὰν Σωτηρίς, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν | καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸμ πάντα βίον, ποιέουσαν | ὅ κα θέλη, καὶ ἀποτρέχειν οἷς κα θέλη. βεβαιωτὴρ κατὰ τὸν | νόμον τᾶς πόλιος· Ἀριστίων Ἄγωνος. εἰ δέ τίς κα ἅπτηται | Σωτηρίδος ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχέτω τῶι θεῶ[ι] ‖ ὅ τε ἀποδόμενος Αἰακίδας καὶ ὁ βεβαιωτὴρ Ἀριστίων. εἰ δέ κα | μὴ παρέχωντι, πράκτιμο[ι] ἐόντ[ων κ]ατὰ τὸν νόμον. ὁμοίως δὲ κ[αὶ] | οἱ παρατυνχάνοντες κύριοι ἐόντων συλέοντες Σωτηρὶν ὡς | ἐλευθέραν οὖσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας | καὶ ζαμίας. μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, ‖ Ταραντῖνος καὶ οἱ ἄρχοντες Ἄθαμβος Ἀγάθωνος, Ἄθαμβος | Ἀθανίωνος, ἰδιῶται Μένης, Ἀνδρόνικος, Φίλαγρος, Ἀριστί|ων, Δαμένης.

W.-F. Z. 3 nur *Θρᾷισαν.* — 7 *ἀποτρέχουσαν* st. des Inf.; vgl. 1824, 4/5; 1854, 16/17. — 9 *θεῶι* voll. — 11 *πράκτιμοι ἐόντω[ν κατὰ] τὸν νόμον.* — 11 Ende *καὶ* voll. — 12 *παρατυγχ°.* — 15 *Ἄθαμβος*, unsicher; möglich auch *Ἄθανβος.*

Zeit. Priesterschaft IV (170—157/6).

1840 *W.-F.* 175. C. v. B.

Ἄρχοντος Πεισιθέου μηνὸς Ποιτροπίου, ἀπέδοτο Ἀλέξανδρος | σῶμα γυναικεῖον ἆι ὄ[ν]ομα Σωτηρὶς τῶι Ἀπόλλωνι τῶι Πυθί|ωι, καθὼς ἐπίστευσε Σωτηρὶς τῶι θεῶι τὰν ὠνάν, ὥστε ἀνέ|φαπτος καὶ ἐλευθέρα εἶμεν ἀπὸ πάντων τὸμ πάντα ‖ βίον, ποιοῦσα ὅ κα θέλη, τιμᾶς ἀργυρίου ΜΜΜ, *καὶ τὰν τι|μὰν ἀπέχει πᾶσαν. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Φί|[λ]ων Ἀριστέα. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Πρα-*

ξίας, Ἀνδρόνι|κος καὶ οἱ ἄρχοντες Τιμόκριτος, Ἀνδρομένης, Θεόξενος, ἰδιῶται Φίλων, | Ἰάσων.

W.-F. Z. 2 ὄνομα. — 5 ἀργυμίου Druckfehler. — 6/7 Φί|λων. — 9 Πασίων statt Ἰάσων. Davor kleine Lücke. Ob in ihr noch etwas stand? Der Name steht nicht zu Anfang der neuen Zeile, sondern ist unter das Ende von Z. 8 gesetzt. Dieselbe Namensbildung s. 1915, 3. — Aus Z. 6 ist die Variation in der Quittungsformel beachtenswert, ἀπέχειν wie unser „weghaben", so auch 1956, 3.

Zeit. Priesterschaft VI (etwa 150—140).

1841 *W.-F.* 176. C. v. B.

Ἄρχοντος Ἐμμενίδα μηνὸς Θευξενίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Ἄθαμβος Ἀγάθωνος | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον | ὧι ὄνομα Κτήσων τὸ γένος Σύρον, τιμᾶς ‖ ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχει | πᾶσαν, καθὼς ἐπίστευσε Κτήσων τὰν ὠνὰν | τῶ θεῶ, ὥστε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος | τὸν πάντα βίον ἀπὸ πάντων, ποιῶν ὅ κα θέλη Κτήσ|ων. βεβαιωτήρ· Ἄθαμβος Ἀβρομάχου. μάρτυροι· ὁ ἱερεὺς ‖ τοῦ Ἀπόλλωνος Ταραντῖνος καὶ ὁ ἄρχων Κλέων, ἰδιῶται | Νίκαρχος Ἐράτωνος, Δεξώνδας Δάμωνος, Κλευκρά|της Εὐρυμήδεος, Φιλαίτωλος Φαίνιος.

Diese Inschrift ist bis auf 3 beschädigte Zeichen in Z. 4, 6 u. 12 gut erhalten.

Zeit. Priesterschaft IV (170—157/6).

1842 *W.-F.* 177. C. v. B.

Ἀγωνοθετέοντος Φιλονίκου Λυμᾶνος μηνὸς δεκάτου, ἐν δὲ Φυσκέοις | ἄρχοντος Πολυκλέος μηνὸς Ὑχαίου, ἀπέδοτο Εὔανδρος Κυραιεύς, | συνευδοκεούσας τᾶς γυναικὸς Δαμύλλας καὶ τοῦ υἱοῦ Ξενία καὶ τᾶς | θυγατέρος Σωκρατείας, τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ‖ γυναικεῖον οἰκογενὲς ἇι ὄνομα Σωσικράτεια, τεχνῆτιν | αὐλητρίδα, ἐπ' ἐλευθερίαι, τιμᾶς ἀργυρίου μνᾶν δέκα. προα|ποδόται κατὰ τὸν νόμον· Ἀρίστων Διοίτα, Ζεῦξις Δαμο|κλέος Φυσκεῖς. ἁ ὠνὰ παρὰ Λυκίδαν Σωκρατίδα, Πολέ|μαρχον Φιλίνου. μάρτυροι· Δαμόφιλος, Παμφαίδας, Νικό‖μαχος, Κρινίας Λεοντίου, Καλλίστρατος Δα|μοκρίτου, Διότιμος, Ζεῦξις Λέωνος, Βουθήρας Δα|μάρχου, Μέλανθος, Εὔνικος, Σώφιλος.

Diese Inschrift ist bis auf 2 beschädigte Zeichen in Z. 3 u. 8 gut erhalten. — Der seltsame Monatsname steht so auf dem Steine, und ich gebe Bischoff Recht, dass er die gemachten Aenderungsvorschläge abweist, *de fastis*

p. 360. — Ist das Ethnikon *Κυραιεύς* gleich **Κιρραιεύς*? — Zu Z. 5/6 *τεχνῆτιν αὐλητρίδα* vgl. 2094, 13 *τεχνεῖταν σκυτῆ*. — Was in Delphi *βεβαιωτήρ* heisst, ist bei den Lokrern *προαποδότας* (vgl. 2028, 14). In 1990, 9 steht das Verbum *προαπέδοτο* „den Verkäufer vertrat". *προαποδότας* ist also wie *πρόξενος* „Vertreter der *ξένοι*" gebildet. — Der Name *Παμ-φαίδας* (Z. 9) gehört in seinem zweiten Teile zum Stamme in *φαίδ-ιμος, φαιδ-ρός, Φαιστός* (Vf. Stud. I, 289).

Zeit. Unbestimmt. Es fehlt die Angabe der delphischen Behörden. Die Inschrift steht auf der Mauer zwischen Nr. 1841, welche der IV. Priesterschaft (170—157/6) angehört, und 1843, welche mit Mai/Juni 174 datiert ist: danach scheint die Abfassungszeit durch die Jahre 174 u. 156 begrenzt zu sein. *Φιλόνικος Δυμᾶν* ist Bürge 1851, 12, und diese Inschrift stammt aus der IV. Priesterschaft (170—157/6).

1843 *W.-F.* 178. C. v. B.

Στραταγέοντος Ἀρχεδάμου Φόλα τὶ τέταρτον | μηνὸς Ἀγυείου, ἐν Δελφοῖς δὲ Ἀρχελάου τοῦ Δαμο|σθένεος μηνὸς Ἡρακλείου, ἐπὶ τοῖσδε ἀπέδοτο Λύκος | Ἀρίστωνος Ἑρμάττιος σῶμα γυναικεῖον ἇι ὄνομα Λυ||κίσκα καὶ ἄ[(λ)]λο ἀνδρεῖον ὧι ὄνομα Καλλίμαχος | τῶι Ἀπόλλωνι τῶι Πυθίωι, τιμᾶς ἀργυρίου μνᾶν | ὀκτώ, καθὼς ἐπίστευσαν Λυκίσκα καὶ Καλλίμαχος | τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθεροι εἶμεν καὶ ἀνέ|φαπτοι ἀπὸ πάντων τὸμ πάντα βίον, ποιέοντες ὅ κα || θέλωντι καὶ ἀποτρέχοντες οις κα θέλωντι. βεβαιω|τῆρες κατὰ τὸν νόμον· Θευδωρίδας Ἀνδρομένε|ος, Ἀρισταγόρας Εὐθυδάμου Δελφοί, Νικόλαος Εὐ|⟨Εὐ⟩βούλου Καλλιπολίτας. παραμεινάντω δὲ Λυκί|σκα καὶ Καλλίμαχος παρὰ Λύκον ἔτη πέντε ποιέ||[ο]ντες τὸ ποτιτα[σ]σόμενον πᾶν τὸ δυνατόν. | ἄρχει τοῦ χρόνου μὴ[ν] Ἀγύειος ὁ ἐπὶ Ἀρχεδάμου στρα|ταγοῦ, ὡς δὲ Δελφοὶ ἄγοντι, μὴν Ἡράκλειος ὁ ἐπὶ Ἀρχε|λάου. ἐπεὶ δέ κα διεξέλθη ὁ χρόνος, ἀποτρεχόντω ἐλεύ|θεροι Λυκίσκα καὶ Καλλίμαχος. εἰ δέ τίς κα ἅπτηται Λυ||κίσκας ἢ Καλλιμάχου, βέβαιον παρεχόντω τῶι θεῶι | τὰν ὠνὰν ὅ τε ἀποδόμενος Λύκος καὶ οἱ βεβαιωτῆρες. | ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συ|λέοντες ὡς ἐλευθέρους ὄντας ἐπὶ τὸν θεὸν ἀζάμιο[ι] | ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· || τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἄθαμβος, Ἀμύντας καὶ τῶν | ἀρχόντων Ἀρχέλαος, ἰδιῶται Δαμένης, Ξένων Γλαύκου, | Εὐκλείδας Καλλείδα, Ἐπιχάρης, Γλαῦκος Ξέν(ων)ος, Καλλίε|ρος. τὰν ὠνὰν φυλάσσοντι Γλαῦκος Ξένωνος, | Καλλίερος ὁ νεωκόρος.

W.-F. Z. 2 *ὑοῦ* statt *τοῦ*. — 5 *ἄλλο*, Stein ΑΑΛΟ. — 12/13 *Νικόλαος* |

Εὐβούλου, ohne Angabe der Dittographie. — 14/15 *ποιέ|οντες τὸ ποτιτασσόμενον* voll. — 16 *μήν*. — 18 Der Stein hat im Ausgange des Imperativs ΟΤΩ, und *ν* ist über *ο* u. *τ* nachgetragen. — 22/23 *συ|λέοντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας*. Es fehlt also eine ganze Zeile. — Z. 27 vergass der Steinmetz erst das Schluss-*ς* von *Ἐπιχάρης*, trug es dann aber nach. Nach *Γλαῦκος* fehlt wieder eine Zeile bei *W.-F.* Ihr Schluss giebt nur: *Γλαῦκος Ξένωνος,* | *Καλλίερος ὁ νεωκόρος*. Die Inschrift hat demnach 29 Zeilen, nicht 27. Für Z. 27 notierte ich mir *Ἐπιχάρης, Γλαῦκος, Ξένος, Καλλίε|ρος*: im 3. Namen vermute ich ein Versehen, daher obige Lesung. *Γλαῦκος Ξέν(ων)ος* ist gewiss der Sohn von *Ξένων Γλαύκου* in Z. 26 und sicher derselbe, der in Z. 28 genannt wird.

Es h. Z. 16/17: *ἄρχει τοῦ χρόνου μὴ[ν] Ἀγύειος ὁ ἐπὶ Ἀρχεδάμου στραταγοῦ, ὡς δὲ Δελφοὶ ἄγοντι μὴν Ἡράκλειος ὁ ἐπὶ Ἀρχελάου*. So interpungieren *W.-F.* Klarer macht die Sache ein Komma nach *ἄγοντι*; denn *μὴν Ἡράκλειος* ist das zweite Subjekt zu *ἄρχει*. Die Bedeutung von *ἄγοντι* entwickelt sich aus den Phrasen *ἡμέραν, ἔτος, βίον ἄγειν*: „wie aber die Delphier leben“, d. h. kalendarisch rechnen. Vgl. 1720, 2; 1747, 2 u. a.

Das Ethnikon *Ἑρμάττιος* ist singulär.

Zeit. Priesterschaft III: Mai/Juni 174.

1844 *W.-F.* 179. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν Πανταλέωνος Πλευρωνίου | τὸ πρῶτον μηνὸς Προκυκλίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Νικοβούλου | μηνὸς Βοαθοίου, ἀπέδοτο Λαμπρίας Ἀλεξομενοῦ Ἀμφισσεὺς τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Βιότα τὸ γένος ἐκ Χαλκίδος ἐκ τῆς ‖ Εὐβοίας αἰχμάλωτον, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καθὼς ἐπίστευσε Βιότα | τὰν ὠνὰν τῶι θεῶι, ὥστε εἶμεν ἐλευθέρα καὶ ἀνέφαπτος ἀπὸ πάντων, | οἰκέουσα καὶ πολιτεύουσα εἷ κα αὐτὰ θέλῃ. ἃ δὲ πρότερον ὠνὰ ἂν εἶχε Λαμ|πρίας Βιότας ἀρμένα καὶ ἀτελὴς ἔστω. εἰ δέ τίς κα ἐφάπτηται Βιότας, οἵ τε βεβαι|ωτῆρες συνεπισχυόντω Βιόται καὶ ἄλλος ὁ θέλων κύριος ἔστω συλέων Βιό‖ταν ὡς οὖσαν ἐλευθέραν ἀζάμιος καὶ ἀνυπόδικος ἐὼν πάσας δίκας καὶ πά|σας ζαμίας. βεβαιωτῆρες· Καλλικλῆς Ἀριστίωνος, Ἄλεξις Ξενοδόκου Ἀμφισσεῖς. | μάρτυροι· Ἄνδρων Μινάκου, Ἀγήσανδρος Πύθωνος, Δάμων Ἀριστοδάμου, Δάμων Θεο|δώρου, Δωρόθεος Ἀρχελάου, Καλλίμαχος Ἀσιδάμου, Ἀρχέδαμος Σωκρατίδα, | Ξενοκράτης Χαιρεδάμου, Θεύδωρος Σωξένου, Ἀμύντιος, Πυθέας, Ἀμύντας ‖ Τιμαγένεος Ἀμφισσεῖς. ἁ ὠνὰ παρὰ Ἀμύνταν Τιμαγένεος Ἀμφισσῆ.

Bis auf 4 verletzte Zeichen ist die Inschrift tadellos erhalten. — Ueber den Namen *Βιό-τ-α* s. Vf. Stud. I, 59; wegen *ἁρμένος* s. 1746, 5. — 9

Vereinzelt ist in diesen Urkunden das Verbum *συνεπισχύω* „beistehen". — 12 Mit *Μίνακος* vergleiche ich Namen wie *Ἀμυν-ίας* 1690, 5; 1838, 7 und glaube, dass Aphäresis des Anlauts anzunehmen ist. — Wegen *Ἀσίδαμος* Z. 13 s. zu 1757, 17.

Der Satz von Z. 7 *ἅ δὲ πρότερον ὠνὰ ἂν εἶχε Λαμπρίας Βιότας ἀρμένα καὶ ἀτελὴς ἔστω* scheint vorauszusetzen, dass schon vor dem nunmehr endgültigen Freilassungsakte einmal Verhandlungen zwischen *Λαμπρίας* und *Βιότα* über die Freilassung gepflogen wurden und *Λαμπρίας* bereits bestimmte Bedingungen aufgesetzt hatte. Wenn von diesem ersten Entwurfe ausdrücklich die Hinfälligkeit ausgemacht wird, so hat es den Anschein, als ob er für *Βιότα* härter war, vielleicht die Clausel wegen *παραμονά* enthielt. Wahrscheinlich wird *Βιότα* durch Erhöhung des Loskaufspreises günstigere Bedingungen erhalten haben.

Zeit. Priesterschaft II: September/October 186.

1845 *W.-F.* 180. C. v. B.

Ἄρχοντος Θευξέ[νου μηνὸς Ποιτροπ]ίου, ἀπέδοτο Σώστρατο[ς Σωτύλου Δελφὸς τῶι Ἀπ]ό[λ]|λω⟨ι⟩νι τῶι Πυθίωι σῶμ[α ἀνδρεῖον ὧι ὄνομα Πυῤῥίας,] | τιμᾶς ἀργυρίου μνᾶν τε[σσάρων, καὶ τὰν τιμὰ]ν [ἔχει]. ‖ βεβαιωτήρ· Δεξικράτης. κα[θὼς ἐπίστευσε] Πυῤῥ[ί]ας | τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε [ἐλεύθερος ε]ἶμ[εν κ]αὶ ἀ|νέφαπτος ἀπὸ πάντων ἕως κα [ζῆ Πυῤῥία]ς. εἰ δέ τίς [κα] ἐφά|πτηται Πυῤῥία ἐπὶ καταδουλισμῶι, [βέβαιον] παρεχόντ[ων τῶι] | θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Σ[ώστρα]τος κ[α]ὶ [ὁ βεβαιω]|τὴρ Δεξικράτης· εἰ δέ κα μὴ παρέχωντι, πρ[ά]κτιμο[ι ἐόντων κα]|τὰ τὸν νόμον τᾶς πόλιος. ὡσαύτως δὲ καὶ ὁ π[αρ]ατυχ[ὼν κύ]ριο[ς] | ἔστω συλέων ὡς ἐλεύθερον ὄντα ἀζάμιος [ὢ]ν κ[αὶ ἀνυπό]δικ[ος] | πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπό[λλ]ω[ν]ος | Ἀμύντας, Ταραντῖνος καὶ οἱ ἄρχοντες Αἰακίδας, [Ξ]έ[νων], ‖ Ἰατάδας· Διόδωρος, Καλλίας, Πραξίας, Μένης, Ζώπυρος.

Die Inschrift hat ausserordentlich gelitten, seitdem *W.-F.* den Polygon abschrieben. Sie geben die ersten 4 Zeilen vollständig, nur in Z. 3 *Πυ[ῤ]ῥίας,* und machen auch S. 308 auf den falschen Zusatz von Jota im Götternamen (Z. 2/3) aufmerksam; vgl. 1751, 1 u. oft. — Von Z. 5 ab werden die Zeilenschlüsse etwas vollständiger; *W.-F.* notieren nur das Fehlen von -[*ος*] am Ende von Z. 12. Die Stellen, die ich controlieren konnte, sind von ihnen richtig gegeben bis auf *καὶ οἱ ἄρχοντες* Z. 14, wo sie irrtümlich *τοὶ* geben, also Z. 13 *τοὶ* und Z. 14 *οἱ*. — Die Interpunktion nach *Ἰατάδας* Z. 15 rechtfertigt ein Vergleich mit 1846, 13; 1847, 10. — Z. 15 ist bis zu Ende benutzt. Nach kleinem Zwischenraume folgt No. 1846.

Zeit. Priesterschaft IV (170—157/6).

1846 *W.-F.* 181. C. v. B.

Ἄρχοντος Θευξένου μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο | Δαμὼ Κρατέρου Δελφὶς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναι|κεῖον ἆι ὄνομα Εὐφροσύνα, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καὶ τὰν | τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Εὐφροσύνα τῶι θεῶι τὰν || ὠνάν, ἐφ᾽ ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν | πάντα βίον. βεβαιωτὴρ κατὰ τὸν νόμον· Πραξίας Εὐδόκου Δελφός. | παραμεινάτω δὲ Εὐφροσύνα παρὰ Δαμὼ ἄχρι κα ζώη Δαμώ. εἰ δέ τί κα | πάθη Δαμώ, ἐλευθέρα ἔστω Εὐφροσύνα κυριεύουσα αὐτοσαυτᾶς κα(ὶ) ποιέου|σα ὅ κα θέλη, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται ἐπὶ κατα||δουλισμῶι Εὐφροσύνας τελευτασάσας Δαμοῦς, βέβαιον παρεχέ⟨ι⟩τω ὁ βεβαιω|τὴρ τῶι θεῶι τὰν ὠνὰν κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύρι|οι ἐόντων συλέοντες ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πά|σας δίκας καὶ ζαμίας. μάρτυροι· τῶν ἀρχόντων Ξένων, Ἰατάδας, ἰδιῶται Δίων | Φιλιστίωνος, Ἀριστόμαχος Ὀλυμπογένεος, Εὐκλείδας Καλλείδα, Φίλων, || Νικίας Νίκωνος.

W.-F. Z. 8 *καὶ ποιέουσα,* aber das Jota von *καί* ist vom Steinmetzen weggelassen worden. — 10 Die irrtümliche Form *παρεχείτω* merken sie S. 308 an. Aus Versehen schlug der Steinmetz erst den Indicativ ein und machte dann den Imperativ daraus, ohne das überflüssige Zeichen zu tilgen. — 12/13 *πά|σας.* Das Ende von 12 sieht wie ΠΑΙ aus. — Der Passus von Z. 4 ist in Z. 9 wirklich wiederholt. — Nach Z. 15 sind noch mehrere Zeilen vorgezogen. Dann folgt Nr. 1847.

Zeit. Priesterschaft IV (170—157/6); vgl. Z. 1 mit 1845, 1 u. Z. 13 mit Z. 14/15 derselben Nummer.

1847 *W.-F.* 182. C. v. B.

Ἄρχοντος Θευξένου μηνὸς Δαιδαφορίου, ἀπέδοτο Κλέων Κλευξένου, Φαινέ|[ας] Κλέωνος, συνευδοκεόντων τῶν υἱῶν Κλευξένου καὶ Νικοδάμου, | σῶμα γυναικεῖον ἆι ὄνομα Σωσὼ τὸ γένος Θρᾶισσαν τῶι Ἀπόλλωνι τῶι Πυ|θίωι, τιμᾶς ἀργυρίου μνᾶν τεττάρων, καὶ τὰν τιμὰν ἔχοντι πᾶσαν. βεβαιω||τὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Ἄθαμβος Ἀθανίωνος. καθὼς ἐπίστευ|σε Σωσὼ τὰν ὠνὰν τῶι θεῶι, ἐφ᾽ ὅτωι ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον | ἀπὸ πάντων τὸμ πάντα βίον, ποιοῦσα ὅ κα θέλη. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπό[λ]|λωνος Ἀμύντας, Ταραντῖνος, ἰδιῶται Μελισσίων, Φίλαγρος, Φίλων Ἀριστέα, |

Εὐφρόνιος, Ἀρτεμίδωρος, Παντάγαθος, Ἀρχέλαος Πυθοφάνεος καὶ || *τῶν ἀρχόντων Ἰατάδας.*

W.-F. Z. 6 *ἐφ' ὧιτε.* — 7 *Ἀπόλ|λωνος;* möglich *Ἀπό[λ]|λωνος* oder *Ἀπό|λ(λ)ωνος* (s. 1761, 4). — 9 *Ἐχέ°* statt *Ἀρχέλαος.* — Z. 8 hat der Stein *ποιοῦσα* st. *°σαν.* Das ist also Vermischung der Formeln, wie 1697, 5/6; 1824, 4; 1900, 4. — Die Z. 10 steht unter der 2., rechten Hälfte von Z. 9; darunter rechts unbehauener Raum, l. beginnt No. 1848.

Zeit. Priesterschaft IV (170—157/6).

1848 *W.-F.* 183. C. v. B.

Ἄρχοντος Θευξένου μηνὸς Θευξενίου, ἐπὶ τοῖσδε | ἀπέδοτο Ἀμύντας Σωσία Δελφός, συνεπαινέοντος | Ἀμύντα τοῦ υἱοῦ τοῦ Ἀμύντα, τῶι Ἀπόλλωνι τῶι Πυθίωι | κατὰ τὸν νόμον τᾶς πόλι[ο]ς σῶμα γυναικεῖον ἇι ὄνομα || *Θευδώραν καὶ κοράσιον ἇι ὄνομα Σωσίκλεια καὶ παι|δάριον ὧι ὄνομα Θεύξενος, τιμᾶς ἀργυρίου μνᾶν ἕξ, καὶ | τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσαν Θευδώρα καὶ | Σωσίκλεια καὶ Θεύξενος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε | ἐλευθέρους εἶμεν καὶ ἀνεφάπτους ἀπὸ πάντων τὸμ* || *πάντα βίον, ποιέοντες ὅ κα θέλωντι καὶ ἀποτρέχον|τες οἷς κα θέλωντι. βεβαιωτῆρες κατὰ τὸν νόμον | τᾶς πόλιος· Ἀρχέ[ας] Νικοβούλου, Φιλοκράτης Ξένω|νος. εἰ δέ τίς κα [ἐφ]άπτηται Θευδώρας καὶ Σωσι|κλείας ἢ Θευξ[έ]νου, βέβαιον παρεχόντων τῶι θεῶι* || *τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἀμύντας καὶ οἱ βεβαιωτῆ|ρες· εἰ δέ κα μὴ παρέχωντι, ὑπόδικοι ἐόντων | κατὸν νόμον τᾶς πόλιος. ὡσαύτως δὲ καὶ οἱ παρατυν|χάνοντες κύριοι ἐόντων συλέοντες ὡς ἐλευθέρους | ὄντας ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας* || *καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, | Ταραντεῖνο[(ς)], ἰδιῶται Δικαίαρχος, Ἀντιχάρης Ἀζαράτου, | Δορκύλος, Ἀριστοκλῆς, Κλέων Κλευξένου, Γοργίας.*

W.-F. Z. 4 *πόλιος.* — 5 *Θευδώρα,* Stein °?AN, und ich lasse die constructio *κατὰ σύνεσιν;* vgl. 1864, 2. — 12 *τᾶς πόλιος· Ἀριστόβουλος, Φιλοκράτης;* der erste Name ist falsch. — 13 *ἐφάπτηται.* — 14 *Θευξένου.* — 16 Nach *ἐόντων* sind einige Zeichen ausgeschlagen. — 17 *κα[τὰ] τὸν νόμον,* vgl. 1718, 9 u. Index. — *W.-F.* Z. 21 *Ταραντῖνος,* St. °TEINON, wie sie auch S. 308 anmerken. — 22 lassen sie *Κλέων* nach *Ἀριστοκλῆς* weg. — Derselbe Freilasser wie 1800, 1. — Zur Construction in Z. 9 u. 10 vgl. 1847, 6/7.

Zeit. Priesterschaft IV (170—157/6).

1849 *W.-F.* 184. C. v. B.

Ἄρχοντος Ἄρχωνος μηνὸς Βουκατίου, ἀπέδοτο Πάσι|χον Πάσωνος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνομα | Δημητρία τὸ γένος Θρᾶισσαν, συνευδοκέ[ο]ντος Φιλοκρά|τεος τοῦ Θευφράστου, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς || ἐπίστευσε Δαματρία τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧ ἐλευθέρα εἶμεν | καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα βίον. παραμεινάτω δὲ | Δαματρία παρὰ Πάσιχον ἕως κα ζώη Πάσιχον ποιοῦσα τὸ ποτιτασσό|μενον πᾶν [τ]ὸ δυνατὸν ἀνεγκλήτως. βεβαιωτῆρες κατὰ τὸν νόμον· Φιλο|κράτης Θευφράστου, Ξένων Γ(λ)αύκου, Βάκχιος Ἄγρωνος. εἰ δέ τις αὐτᾶς ἐφά||πτοιτο ἐπὶ καταδουλισμῶι, κύριος ἔστω συλέων ὁ παρατυχὼν ὡς ἐλευθέραν οὖ|σαν ἀζάμιος ὢν καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. μάρτυρες· οἱ ἱερεῖς Τα|ραντῖνος, Ἀμύντας, οἱ ἄρχοντες Ἀριστοκράτης, Καλλίμαχος, ἰδιῶται Μελισσίων, | Γλαῦκος, Ἀριστίων, Νικόμαχος, Σωδαμίδας, Δίων.

W.-F. Z. 3 *συνευδοκέοντος*. — 8 *τὸ δυνατόν*. — 9 *Γ[λ]αύκου*, St. ΓΑΥΚ°, ohne Correktur. — Zu dem Wechsel der dorischen (Z. 5, 7) u. attischen (Z. 3) Form vgl. den Wechsel derselben Namensform in No. 1748, von *Ἑστιώ* und *Ἱστιώ* in 2085, 2, 4.

Zeit. Priesterschaft IV (170—157/6).

1850 *W.-F.* 185. C. v. B.

Ἄρχοντος Ξενοχάρεος μηνὸς Βυσίου, ἀπέδοτο Φιλὼ Χαρίνου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶ|μα γυναικεῖον ἆι ὄνομα Νικασώ, τιμᾶς ἀργυρίου μνᾶν ἐννέα, καθὼς ἐπίστευσε Νικασὼ τῶι | θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν Νικασὼ καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸμ πάν|τα χρόνον, ποιοῦσαν ὅ κα θέλη. βεβαιωτῆρες· Λύκος Κάλλωνος, Ἀνδρόνικος Πατρέα. || μάρτυρες· οἱ ἱερεῖς Ἄθαμβος, Ἀμύντας καὶ ἰδιῶται Δαμένης, Μαντίας Φιλαι|τώλου, Καλλίερος, Θέων, Κρίτων Κράτωνος.

Die Inschrift ist tadellos erhalten und fehlerlos von *W.-F.* wiedergegeben. Ich fand nur 2 Zeichen in Z. 4 verletzt.

Zeit. Priesterschaft III: Februar/März 175.

1851 *W.-F.* 186. C. v. B.

Ἀγωνοθετέοντος τῶν Λοκρῶν Λύκωνος Φυσκέ[ο]ς μηνὸς Διονυσίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Θευξένου μηνὸς Ποιτροπίου, | ἀπέδοτο Ἐπιτέλης Ἀλκαμένε[ο]ς Φυσκεὺς τῶι Ἀπόλλωνι τῶι | Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Μηνόφιλος τὸ γένος Κα[(π)]||πάδοκα, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καὶ

τὰν τιμὰν ἔχει πᾶ|σαν, καθὼς ἐπίστευσε Μηνόφιλος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε | ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων ἕως κα βιώη, ποιέων ὅ κα θέ|λῃ καὶ ἀποτρέχων οἷς κα θέλῃ. εἰ δέ τίς κα ἐφάπτηται Μηνοφίλου, βέβαιον πα|ρεχόντων τὰν ὠνὰν ὅ τε ἀποδόμενος καὶ ὁ βεβαιωτὴρ τῶι θειῶι. καὶ ὁμοίως || ὁ παρατυγχάνων κύριος ἔστω συλέων Μηνόφιλον ἐπὶ τὸν θεὸν ὡς | ἐλεύθερον ὄντα ἀνυπεύθυνος ὤν. βεβαιωτὴρ κατὰ τὸν νό|μον· Φιλόνικος Δυμᾶν. μάρτυροι· τοὶ ἱερεῖς Ἀμύντας, Ταραντῖνος· | Πολέμαρχος, Λύκων, Στράταγος, Ἀρίστων, Πλείσταινος, Ζώπυ|ρος, Καλλικράτης, Κρινίας, Λύκων Λυκέα Φυσκεῖς, Καλλίξενος Εὐ||ανθεύς, -- Εὐκλείδας, Μένης Δελφοί.

W.-F. Z. 1 *Φυσκέος*. — 3 *Ἀλκαμένεος*. — 4 *Καπ|πάδοκα,* auf dem Steine endet Z. 4 mit ΚΑΚΙ. — 15 Vor *Εὐκλείδας* ist unbenutzter Raum von der Grösse zweier Zeichen; vgl. 1697, 11. — Z. 12 *Δυμᾶν* kann nicht Phylenname sein; ein solcher Zusatz wäre ganz gegen die Regel. Es ist Ethnikon und steht auch 1842, 1. — Die Schreibung *Εὐανθεύς* (Z. 14) statt *Οἰανθεύς*, welche auf volksetymologischer Umbildung des Städtenamens zu beruhen scheint, steht z. B. auch 1951, 10.

Zeit. Priesterschaft IV (170—157/6).

1852 *W.-F.* 187. C. v. B.

Ἄρχοντος Σωσινίκου μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσ|δε ἀπέδοτο Πάσιχον Εὐαγόρα Δελφὶς τῶι Ἀπόλ|λωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Σω|σίχα, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν || τιμὰν ἔχει, καθὼς αὐτὰ ἐπίστευσε Σωσίχα | τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ | ἀνέφαπτος τὸμ πάντα βίον, ποιοῦσα ὅ κα θέλῃ. | βεβαιωτῆρες κατὰ τὸν νόμον· Εὐαγόρας Ἁβρομά|χου Δελφός, Εὔαρχος Εὐάρχου Ἀμφισσεύς. μάρτυ||ρες· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἄθαμβος, ὁ ἄρχων | Γλαῦκος, ἰδιῶται Ἀγέας, Μαντίας Κλεοδάμου, | Ἀριστώνυμος, Ξένων Δελφοί, Ἀσίδαμος, Ἄνδρων | Ἀμφισσεῖς. παραμεινάτω δὲ Σωσίχα Πασίχωι | μέχρι κα βιοῖ ποιοῦσα ὅ κα κέληται Πάσιχον. || εἰ δέ κα μὴ παραμένῃ ἢ μὴ ποιῇ τὸ ποιτασσόμε|νον Πασίχωι τὸ δυνατόν, κυρία ἔστω Πάσιχον | κολάζουσα ὥς κα θέλῃ.

Wie in No. 1780, bildet auch hier die Angabe der Zeugen nicht den Schluss der Urkunde. Hier folgt die wichtige Bestimmung der *παραμονά*. Der Steinmetz vergass sie offenbar nach Z. 7 und setzte sie deshalb an den Schluss. Die Erhaltung der Urkunde ist recht gut; nur 4 Zeichen

sind verletzt. Z. 14 steht der conj. praes. *βιοῖ*. — Z. 15 schreiben *W.-F.* *τὸ πο[τ]ιτασσόμενον* (vgl. 1721, 5; 1870, 4).

Zeit. Priesterschaft III: December/Januar 174/173.

1853 *W.-F.* 188. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν Θόα Τριχονίου τὸ τέταρτον μηνὸς Δίου, ἐν Δελφοῖς δὲ | ἄρχοντος Αἰακίδα μηνὸς Ποιτροπίου, ἀπέδοτο Εὔδαμος Τιμαίου Ἀρσινοεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι | σῶμα ἀνδρεῖον ὧι ὄνομα Εὐθυμένης τὸ γένος Λάκωνα, τιμᾶς ἀργυρίου τριῶν ἡμιμναίων, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, | καθὼς ἐπίστευσε Εὐθυμένης τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων, ποιῶν ‖ ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέλη. βεβαιωτήρ· Πραξίας Εὐδόκου Δελφός, κατὰ τὰν συμβολὰν καὶ τοὺς νό|μους. εἰ δέ τίς κα ἐφάπτηται Εὐθυμένεος, βέβαιον παρεχόντω τὰν ὠνὰν ὅ τε ἀποδόμενος καὶ ὁ βεβαιωτὴρ | τῶι θεῶι. καὶ ὁμοίως ὁ παρατυνχάνων κύριος ἔστω συλέων Εὐθυμένη ἐπὶ τὸν θεὸν ὡς ἐλεύθε|ρον ὄντα ἀνυπεύθυνος ὢν πάσας δίκας καὶ ζαμίας. μάρτυρες· Ἀμύντας ὁ ἱερεύς, Ὀρθαῖος ὁ ἄρχων, ἰδιῶται Κλεό|δαμος Κλέωνος, Διόδωρος, Δεξικράτης Μνασιθέου Δελφοί, Χαιρέλαος Χαλειεύς, Ἀρχέδαμος Ἀμ‖φισσεύς, Ἀριστοκλῆς Ἀρσινοεύς.

Die Inschrift ist bis auf das erste *ε* in *ἔχει* (Z. 3) tadellos erhalten und von *W.-F.* richtig publiciert. — Dass das ätolische *Ἀρσινόη* (Z. 2) gemeint ist, darf man aus den Ethnicis in Z. 9 u. 10 schliessen.

Zeit. Priesterschaft III: December/Januar 173/172.

1854 *W.-F.* 189. *Cauer* 216. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν Παναιτώλου Φυταιέ|ος μηνὸς Ὁμολωΐου, ἐν δὲ Δελφοῖς ἄρχοντος Ξενέα | μηνὸς Βυσίου, ἐπὶ τοῖσδε ἀπέδοτο Κριτόδαμος | Δαμοκλέος Φυσκεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι | σῶμα ἀνδρεῖον ὧι ὄνομα Μαιφάτας τὸ γένος Γαλά|ταν καὶ γυναικεῖον ἇι ὄνομα Ἀμμία τὸ γένος | Ἰλλύραν, τιμᾶς ἀργυρίου μνᾶν ἑπτά. παραμεινάτω δὲ | Μαιφάτας καὶ Ἀμμία παρὰ Κριτόδαμον ἇς κα ζώη Κριτόδαμος ποιέοντες Κριτοδάμωι τὸ ποτιτασσόμενον· ‖ εἰ δέ κα μὴ παραμείνωντι ἢ μὴ ποιέωντι τὸ | ποτιτασσόμενον, ἄρμενα καὶ ἀτελὴς αὐτοῖς | ἁ ὠνὰ ἔστω. ἐπεὶ δέ κα τελευτάσηι Κριτό|δαμος, ἐλεύθεροι ἔ(σ)των Μαιφάτας καὶ Ἀμμία | καὶ ἁ ὠνὰ μενέτω τῶι θεῶι, καθὼς ἐπίστευσαν, ‖ ἐφ' ὧιτε ἐλευθέρους εἶμεν καὶ

ἀνεφάπτους ἀπὸ | πάντων τὸμ πάντα βίον, ποιέοντες ὅ κα θέλωντι | καὶ ἀποτρέχοντας οις κα θέλωντι. βεβαιωτῆρες | κατὰ τὸν νόμον καὶ τὰν συμβολάν· Φίλων Ἀρι|στέα, Ἀστόξενος Διονυσίου. μάρτυροι· οἱ ἱερεῖς ‖ Ἀμύντας, Ταραντῖνος, ἰδιῶται Δεξικρά|της, Σώτιμος, Καλλίμ⟨μ⟩αχος, Εὐάγγελος, Ἀ⟨ι⟩|χαιὸς Δελφοί, Λυκίσκος, Μενέδαμος Φυσκεῖς.

W.-F. merken S. 308 zu Z. 13 an, dass der Stein ΕΣΩΝ st. *ἔστων* habe. Ich notierte ΕΤΩΝ; in einem Riss darüber könnte man die Nachtragung von *σ* vermuten, dann wäre *ἔστων* zu schreiben. — 17 *ἀποτρέχοντες,* Stein °ΤΑΣ, also Vermischung der Construktionen, wie so oft; umgekehrt 1911, 7. — 21 *Καλλίμαχος,* am Ende *Ἀ|χαιός,* beide Male ohne Angabe des überflüssigen Zeichens. *Ἀχαιός* begegnet in den verschiedensten Gegenden als Eigenname.

Zeit. Priesterschaft IV (170—157/6).

1855 *W.-F.* 190. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν Νικάνδρου Τριχονέος τὸ τρίτον | μηνὸς Ἑρμαίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Μελισσίωνος μηνὸς Θεο|ξενίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀγησὼ Ἀνφισσὶς τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Σωσίας, τιμᾶς ἀργυρίου μνᾶν ‖ τριῶν, καθὼς ἐπίστευσε Σωσίας τῶι θεῶι τὰν ὠνάν. βεβαιωτῆρες | κατὰ τὰν συνβολὰν καὶ τὸν νόμον· Ἀριστόμαχος Ἀνφισσεύς, Δεξικρά|της Δελφός. παραμεινάτω δὲ Σωσίας Ἀγησοῖ ἄχρι κα ζώηι Ἀγησὼ ποέ|ων τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατόν· εἰ δέ κα μὴ παραμένη μηδὲ | ποιῆ τὸ ποτιτασσόμενον δυνατὸς ἐών, ἐξέστω Ἀγησοῖ κολάζειν ‖ ὥς κα αὐτὰ θέλῃ. ἐπεὶ δέ κα τελευτάσῃ Ἀγησώ, ἐλεύθερος ἔστω | Σωσίας κυριεύων αὐτοσαυτοῦ καὶ ποέων ὅ κα θέλῃ, καθὼς ἐπίστευσε | τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται Σωσί[(α)] ἐπὶ καταδουλισμῶι | τετελευτακούσας Ἀγησοῦς, βέβαιον παρεχέτωσαν οἱ βεβαιωτῆ|ρες τῶι θεῶι τὰν ὠνάν. ὁμοίως δὲ καὶ οἱ παρατυνχάνοντες κύριοι ἐόν‖τω συλέοντες ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι | πάσας δίκας καὶ ζαμίας. μάρτυρες· τοὶ ἱερεῖς Ἄθανβος, Ἀμύντας | καὶ οἱ ἄρχοντες Πραξίας, Ἀνδρόνικος, Ἀριστίων, ἰδιῶται Καλλίας, | Δαμοκράτης Δελφοί, Γενναῖος Ἀνφισσεύς.

W.-F. Z. 8 Ende [ἢ μὴ] statt *μηδέ,* was deutlich dasteht. — 12 *Σωσία,* Stein ΣΩΣΙΑ, also °[(α)]. — 14 [*ἐόν*]*τω,* aber *ἐόν*| ist klar. — Die Formel von Z. 5 wird in Z. 11 wiederholt. — Zu Formen wie *τετελευτακούσας* Z. 13 s. die Analoga bei Curtius, Verbum II², 202. — Consequent wird

der Nasal vor Guttural (Z. 14) und Labial (Z. 3, 6 zweimal, 16, 18) als *ν* gegeben, inconsequent ist der Steinmetz mit Jota adscriptum (Z. 7 *ζώηι*, aber ohne Jota Z. 8, 9, 10 zweimal).

Zeit. Priesterschaft III: März/April 176.

1856 *W.-F.* 191. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν | Πανταλέωνος Πλευρωνίου τὸ τρί|τον μηνὸς Πανάμου, ἐν Δ[ε]λφοῖς | δὲ ἄρχοντος Αἰακίδα [μ]ηνὸς || Βουκατίου, ἀπέδοτο Λαιάδας | Ἀριστάρχου Ἀμφισσεὺς τῶι Ἀ|πόλλωνι τῶι Πυθίωι σώματα γυ|ναικεῖα δύο αἷς ὀνόματα Νικο|στράτα, Ὀλυμπιὰς τὸ γένος Περ||ραιβάς, τιμᾶς ἀργυρίου μνᾶν ἑ|πτά, ὥστε ἐλευθέρας εἶμεν | καὶ ἀνεφάπτους τὸν πάντα | χρόνον, καθὼς ἐπίστευσαν | τὰν ὠνὰν τῶι θεῶι. βεβαιω||τὴρ κατὰ τὸν νόμον· Λό[χ]α|γος Ἀγήτα Καλλιπολίτας. | μάρτυροι· Βάκχιος, Ἀμύν|τας, Δαμοσθένης, Ἀρχέλα|ος, Πολέμαρχος Δελφοί, Δά||μαρχος, Ἀγάσανδρος, Ξενο|κράτης, Καλλίμαχος, Ἀσί|δαμος, Γενναῖος Ἀμφισσεῖ[ς], | Στράτιος, Τιμόξενος Καλ|λιπολῖται, Μητρόδωρος || Φυσκεύς, Μενέμαχος, Ἀγέ|μαχος Ναυπάκτιοι. τὰν ὠ|νὰν φυλάσσοντι Ἀρχέλα|ος Θηβαγόρα, Πολέμαρχος | Πανσανία Δελφοί.

W.-F. Z. 3 *Δελφοῖς*. — 4 *μηνός*. — 15 *Λοχαγός*. — Unter den Zeugen sind nicht, wie sonst, ausgeschieden Priester und Archonten; *Ἀμύντας* Z. 17 ist Priester, *Δαμοσθένης* Z. 18 Archont.

Zeit. Priesterschaft III: August/September 173.

1857 *W.-F.* 192. C. v. B.

Ἄρχοντος Κλευδάμου τοῦ Μαντία μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ξένων | Σωπάτρου Δελφὸς σῶμα ἀνδρεῖον ὧι ὄνομα Δημήτριος τὸ γένος Σύρον τῶι Ἀπόλλω|νι τῶι Πυθίωι, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Δημήτριος τῶι θε|ῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλεύθερον εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων, ποιοῦντα ὅ κα || θέλῃ καὶ ἀποτρέχοντα ἇ κα θέλῃ. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· | Σωτύλος Σωστράτου Δελφός. βέβαιον δὲ παρεχέτω ὅ τε ἀποδόμενος καὶ ὁ βεβαιω|τὴρ τῶι Ἀπόλλωνι τῶι Πυθίωι κατὰ τοὺς νόμους τᾶς πόλιος. κύριος δὲ ἔστω Δημήτριος αὐτοσαυτὸν συλέων | καὶ ὁ παρατυχὼν ἀζάμιος ἐὼν καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. μάρτυροι· | οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Ταραντῖνος, Ἀμύντας καὶ τῶν ἀρχόντων Διόδωρος || Μνασιθέου, ἰδιῶται Ἐκέφυλος, Καλλίας, Πολύων, Ἵππων, Κλέανδρος, Δίων Ἐπισθένεος.

Diese Nummer ist tadellos erhalten und von *W.-F.* fehlerfrei wiedergegeben. Z. 7 ist τῶι Ἀπόλλωνι τῶι Πυθίωι erst vergessen gewesen, später aber über der Zeile nachgetragen worden. — Bezeichnend ist, dass der Delphier seinen Sclaven mit ggr. Namensform nennt (vgl. 1748, 1787, 1849). — Z. 5 ἅ κα θέλῃ, wie 1825, 5. — Z. 6 ist das Objekt zu ergänzen dem Leser überlassen (vgl. 1975, 12).

Zeit. Priesterschaft IV: December/Januar 169/168.

1858 *W.-F.* 193. *Ditt.* 460. C. v. B.

Ἄρχοντος Κλευδάμου τοῦ Μαντία μηνὸς Βυσίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Ἐχέμηλος Ἀριστοτέλεος Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἀφροδι|σία, τιμᾶς ἀργυρίου μνᾶν δύο, καὶ τὰν τιμὰν ἔχει, καθὼς ἐπίστευσε Ἀφροδισία τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλευθέραν εἶμεν | καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸμ πάντα βίον. βεβαιωτῆρες κατὰ τὸν νόμον· Εὐκράτης Ἐπικράτεος, Κλέων Δίωνος, Ἀριστοτέλης ‖ Ἐχεμήλου Δελφοί. παραμεινάτω δὲ Ἀφροδισία παρὰ Ἐχέμηλον ἄχρι κα ζώῃ Ἐχέμηλος ποιέουσα τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατόν· | εἰ δέ τί κα μὴ ποιῇ Ἀφροδισία τῶν ποτιτασσομένων ὑπ᾽ Ἐχεμήλου καθὼς γέγραπται δυνατὰ ἐοῦσα, κριθέντων ἐν ἄνδροις τρίοις | οὓς κα συνέλωνται· ὅ τι δέ κα οὗτοι κρίνωντι ὀμόσαντες, κύριον ἔστω. εἰ δέ τί κα πάθῃ Ἐχέμηλος, ἐλευθέρα ἔστω Ἀφροδισία | κυριεύουσα αὐτοσαυτᾶς καὶ ποιέουσα ὅ κα θέλῃ καὶ ἀποτρέχουσα οἷς κα θέλῃ, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅ|πτηται ἐπὶ καταδουλισμῶι Ἀφροδισίας τελευτάσαντος Ἐχεμήλου, βέβαιον παρεχόντων οἱ βεβαιωτῆρες τῶι θεῶι τὰν ὠνὰν κα‖τὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι | πάσας δίκας καὶ ζαμίας. μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος, ἰδιῶται Ἀλκῖνος, Ἄθαμβος Ἀθανίωνος, | Καλλείδας Εὐκλείδα, Ξένων Πειθαγόρα, Εὐκλείδας καὶ τῶν ἀρχόντων Ἀνδρόνικος.

Diese Nummer ist tadellos erhalten; nur 4 Zeichen (in Z. 3, 9, 10, 11) sind verletzt. Die Wiedergabe bei *W.-F.* ist korrekt. — Die Formel von Z. 3 findet sich Z. 8 wiederholt.

Zeit. Priesterschaft IV: Februar/März 168.

1859 *W.-F.* 194. C. v. B.

Ἄρχοντος Δεξώνδα μηνὸς Βυσίου, ἐπὶ τοῖσδε ἀπέδοντο Ἀστύοχος Γνωσιλάου, συνευδοκέοντος καὶ τοῦ | υἱοῦ Ἀριστάρχου, καὶ Σωτήριχος Σωτηρίχου Δελφοὶ τῶι Ἀπόλλωνι τῶι

Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα | Ἁβροσύνα τὸ γένος οἰκογενῆ, τιμᾶς ἀργυρίου μνᾶν ἕξ, καὶ τὰν τιμὰν ἔχοντι πᾶσαν, καθὼς ἐπίστευσε Ἁ|βροσύνα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὰν ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα βίον, || ποιοῦσαν ὅ κα θέλη. εἰ δέ τις ἐφάπτοιτο ἐπὶ καταδουλισμῶι — . *ὁμοίως δὲ καὶ ὁ παρατυχὼν κύριος ἔστω συλέων | Ἁβροσύναν ὡς ἐλευθέραν οὖσαν ἀζάμιος ὢν καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. βεβαιωτῆρες κα|τὰ τὸν νόμον τᾶς πόλιος· Δάμων Ξενοστράτου, Πατρέας Ἀνδρονίκου. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος | Πραξίας, Ἀνδρόνικος καὶ τοὶ ἄρχοντες Γενναῖος, Σώστρατος, Ἁγίων Ἐκεφύλου, ἰδιῶται Ἰατάδας, Ἀλέξων | Δίωνος, Ἀριστέας, Ἁγίων Κλεοδάμου, Καλλείδας Εὐκλείδα, Βάκχιος.*

Wegen des Freilassers *Ἀστύοχος* und seines Sohnes *Ἀρίσταρχος* vgl. 1707. — Diese Nummer ist sehr gut erhalten, verletzt nur *τοῦ* Z. 1, 2 Zeichen in Z. 5, je eins in Z. 7, 8. — Zur Lücke in Z. 5 merken *W.-F.* S. 308 an: entre *καταδουλισμῶι* et *ὁμοίως,* le graveur a évidemment oublié un membre de phrase. Diese Phrase schliesst oft mit *τὰν ὠνὰν τῶι θεῶι,* und dieses °*ωι* mag Schuld gewesen sein, dass er entweder in die nächste Zeile der Vorlage übersprang oder nach zeitweiliger Einstellung der Arbeit diese eine Z. tiefer wieder aufnahm.

Zeit. Priesterschaft VI (etwa 150—140).

1860 *W.-F.* 195. C. v. B.

Ἄρχοντος Ξενέα μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Νικίας Κάλλωνος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Σώσανδρος τὸ γέ|νος Γαλάταν, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Σώσανδρος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάν|των τὸμ πάντα χρόνον, ποέων ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέλη. βεβαιωτὴρ κατὸν νόμον τᾶς πόλιος· Ξενοκράτης Σωσίκου. εἰ δέ τίς κα ἅπτηται Σωσάν|δρου ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Νικίας καὶ ὁ βεβαιωτὴρ Ξενοκράτης· εἰ δέ κα μὴ παρέχωντι τὰν || ὠνὰν βέβαιον τῶι θεῶι, πράκτιμοι ἐόντω κατὰ τὸν νόμον αὐτῶι τε Σωσάνδρωι καὶ ἄλλωι ὑπὲρ Σώσανδρον ὅν κα Σώσανδρος θέλη. ὁμοίως δὲ καὶ οἱ παρα|τυγχάνοντες κύριοι ἐόντω συλέοντες Σώσανδρον ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυ|ρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ἀμύντας, Ταραντῖνος καὶ τοὶ ἄρχοντες Ἀριστοκράτης, Ἀρχίας, Δαμοφάνης, ἰδιῶται Ξενέας, Εὐαγόρας, Μαντίας Δαμοχάρεος.

W.-F. haben Z. 1 *ἐπὶ τοῖσδε* weggelassen. — 3 *κατὰ τὸν*, Stein ΚΑΤΟΝ. — 6 Sie bemerken S. 309: Après *Σώσανδρον*, on lit ΣΩΣΑΝ, mais ces dernières lettres ont été effacées. Der Name war aus Versehen zweimal eingeschlagen worden, wurde aber nicht ganz getilgt; man erkennt noch die Anfangszeichen.

Zeit. Priesterschaft IV (170—157/6).

1861 *W.-F.* 196. C. v. B.

Ἄρχοντος Ξενέα μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Νικίας Κάλλωνος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Νίκων τὸ γένος Φωκῆ, τιμᾶς | ἀργυρίου μνᾶν δύο καὶ ἡμιμναίου, καθὼς ἐπίστευσε Νίκων τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὥιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα χρόνον, ποέ|ων ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέλη. βεβ[αι]ωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Μαντίας Δαμοχάρεος. εἰ δέ τίς κα ἅπτηται Νίκωνος ἐπὶ καταδουλισμῶι, βέβαι|ον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Νικίας καὶ ὁ βεβαιωτὴρ Μαντίας· εἰ δέ κα μὴ παρέχωντι τὰν ὠνὰν βέβαιον τῶι θεῶι, πράκτιμοι ἐόντω ‖ κατὰ τὸν νόμον αὐτῶι τε Νίκωνι καὶ ἄλλωι ὑπὲρ Νίκωνα ὅν κα Νίκων θέλη ἀζαμίωι ὄντι καὶ ἀνυποδίκωι πάσ(ας) δίκας καὶ ζαμίας. ὁμοίως δὲ καὶ οἱ παρατυγχά|νοντες κύριοι ἐόντω συλέοντες Νίκωνα ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσ(ας) δίκας καὶ ζαμίας. μάρτυρες· τοὶ (ἱ)ερεῖς τοῦ Ἀπόλλωνος | Ἀμύντας, Ταραντῖνος καὶ τῶν ἀρχόντων Ἀριστοκράτης, ἰδιῶται Δεξικράτης, Μνασίθεος Ταραντίνου, Σωτύλος, Δίων Ἀλέξωνος.

W.-F. Z. 3 *βεβαιωτήρ*. — 5 u. 6 *πάσας*, Stein beide Male nur ΠΑΣ. — 6 *τοὶ ἱερεῖς*, auf S. 309 mit der Angabe: Inscr. ΤΟΙΕΡΕΙΣ. — Ebendaselbst heisst es: Après *Ἀπόλλωνος*, à la fin de la ligne, on distingue encore les lettres ΤΑ effacées par le graveur. Im Reste des zweiten Zeichens erkennt man unschwer *α*. Gewiss wollte der Steinmetz *Ταραντῖνος* zuerst einschlagen, änderte dies aber zu Anfang der nächsten Zeile.

Zeit. Priesterschaft IV (170—157/6).

1862 *W.-F.* 197. C. v. B.

Ἄρχοντος Ξενοχάρεος μηνὸς Ποιτροπίου τοῦ πρώτου, ἐπὶ τοῖσδε ἀπέδοτο Στράταγος Τηλεφάνεος τῶι Ἀπόλλωνι τ[ῶι] | Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Σόφων, ὃν ἐπρίατο παρὰ Πολεμάρχου τοῦ Τεισάνδρου Ὀφιέος, τιμᾶς | ἀργυρίου μνᾶν πέντε, καθὼς ἐπίστευσε Σόφων τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὥιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτ|ος ἀπὸ πάντων τὸν πάντα χρόνον, ποέων ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέλη. βεβαιω-

τὴϱ κατὰ τοὺς νό||μους τᾶς πόλιος· Σωτύλος Σωστράτου. μάρτυρες· οἱ ἱερεῖς Ἄθαμβος καὶ οἱ ἄρχοντες Ἀνδρόνικος, Δρομοκλείδα|ς καὶ ἰδιῶται Κλεόδαμος Κλέωνος, Γλαῦκος, Ἀγέας, Σωδαμίδας, Μνάσων.

Diese Nummer ist bis aufs Ende v. Z. 1 tadellos erhalten. *W.-F.* geben sie genau wieder. — Derselbe Freilasser begegnet auch 1704, 1. — Dass der Steinmetz *οἱ* (*ἱερεῖς* oder *ἄρχοντες*) einschlägt und dann nur einen Namen (Z. 5), kommt auch sonst vor (z. B. 1791, 12; 1880, 12; 1891, 33).

Zeit. Priesterschaft III: December/Januar 176/175.

1863 *W.-F.* 198. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν Εὐπολέμου τὸ δεύτερον μηνὸς Προκυκλίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ξενοχάρεος | μηνὸς Βο⟨ι⟩αθοίου, ἀπέδοτο Δωρόθεος Λύκου Δρυοπαῖος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Καλλιστράτα, τι|μᾶς ἀργυρίου μνᾶν ὀκτώ, ἂν αὐτὸς ἐπρίατο παρὰ Φειδίου Δελφίδος, ὥστε εἶμεν ἐλευθέραν καὶ ἀνέφαπτον ἀπὸ πάντων, | καθὼς ἐπίστευσε τῶι θεῶι Καλλιστράτα τὰν ὠνάν. βεβαιωτὴρ κ(α)τὰ τὸν νόμον τᾶς πόλιος τῶν Δελφῶν· Σωτύλος Σωστράτου || Δελφός. μάρτυρες· οἱ ἱερεῖς Ἀμύντας, Ἄθαμβος καὶ οἱ ἄρχοντες τῶν Δελφῶν Δρομοκλείδας, Ἀνδρόνικος, Ἀλκῖνος, ἰδιῶται Σιμάδας, | Νικόλαος Ἡρακλειῶται, Ἀντίφιλος, Καλλίερος Δελφοί. ἁ ὠνὰ παρὰ τοὺς ἄρχοντας καὶ παρὰ Ἀνδρόνικον Ἡρακλεώταν.

W.-F. Z. 4 *κατὰ*, Stein KTA, und *α* ist nicht nachgetragen. — 5 Stein MAT°, und *ϱ* ist oben zwischen *α* u. *τ* hinzugesetzt. — 6 am Ende Stein °ΚΛΕΩΤΑΝ; *W.-F.* °*κλε*[*ι*]*ώταν*. Ich lasse die Ueberlieferung, vgl. *Χαλεῇ* 1693, 11, *Ἡρακλεῶται* 1895, 3 u. a. — Auf das Versehen im Monatsnamen (Z. 2) machen *W.-F.* nicht aufmerksam.

Zeit. Priesterschaft III: September/October 176.

1864 *W.-F.* 199. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν Εὐπολέμου τὸ δεύτερον μηνὸς Δίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ξενοχάρεος μηνὸς Ποιτροπίου, | ἀπέδοτο Εὐαγόρα Πάτρωνος Ἀνφισσὶς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Νικόστρατος οἰκογενής, τιμᾶς ἀρ|γυρίου μνᾶν τεσσάρων, ὥστ' εἶμεν ἐλεύθερον καὶ ἀνέφαπτον ἀπὸ πάντων, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνὰν | Νικόστρατος. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος τῶν Δελφῶν· Δώρων Φιλοδάμου Ἀμφισσεύς. μάρτυρες· οἱ ἱερεῖς

Ἀμύντας, || Ἄθανβος καὶ οἱ ἄρχοντες τῶν Δελφῶν Δρομοκλείδας, Ἀνδρόνικος, Ἀλκῖνος, ἰδιῶται Ἀρίσταρχος, Καλλίερος, Κλεόδαμος | Ἀτεισίδα.

Bis auf das Schluss-ς der vorletzten Zeile ist alles tadellos erhalten und bei *W.-F.* richtig wiedergegeben. — Z. 2 wäre *οἰκογενῆ* die Regel; ich lasse die Attraktion. Der umgekehrte Fall begegnete 1848, 4. — 3 *ὥστ' εἶμεν.* Die Sandhischreibungen sind selten. — Der Nasal ist vor dem Labial inconsequent geschrieben, Z. 2 u. 5 als *ν*, Z. 4 als *μ*.

Zeit. Priesterschaft III: December/Januar 176/175.

1865 *W.-F.* 200. C. v. B.

Ἄρχοντος Ἀρχελάου τοῦ Δαμοσθένεος μηνὸς Ἡραίου, ἐπὶ τοῖσδε ἀπέδοτο Μένανδρος Κλεοξένου Θελπ|⟨π⟩ούσσιος ἐν Δελφοῖς κατοικέων σ⟨σ⟩ώματα δύο οἷς ὀνόματα Ζωπύρα, Τίμανδρος, καθὼς ἐπίστευσε τῶι θεῶι, ἀργυρίου | μνᾶν ὀκτώ, ὥστε αὐσωτῶν κυριεύειν. βεβαιωτὴρ κατὰ τὸν νόμον· Ἀρίστων Ἀριστοκράτεος Λιλαιεύς. παραμεινάντω δὲ ἕως κα | Μένανδρος ζῆ Ζωπύρα καὶ Τίμανδρος ποιέοντες τὸ ποτιτασσόμενον τὸ δυνατὸν Μενάνδρω. ἐπεὶ δέ κα τελευτάσῃ Μέναν||δρος, ἐλεύθεροι ἐόντω καὶ -- ἀνέφαπτοι ἀπὸ πα(ν)τὸς Ζωπύρα καὶ Τίμανδρος. εἰ δέ κά τις ἐφάπτοιτο, κύριος ἔστω ὁ ἀντιτυνχάνω[ν] | ὑπὲρ τὸν θεὸν καὶ ὁ βεβαιωτὴρ βεβαιούτω. μάρτυρες· οἱ ἱ(ε)ρεῖς τοῦ Ἀπόλλωνος Ἄθανβος, Ἀμύντας καὶ οἱ βουλευταὶ Μελισσίων, Ξένων, | Βούλων καὶ ἰδιῶται Ἀρχέλαος Πυθοφάνεος, Μένης, Καλλίερος, Ἄρχων Φυσκεύς.

W.-F. Z. 1/2 *Θελ|πούσσιος.* — 2 *σώματα.* — 5 nach dem ersten *καὶ* unbenutzter Raum von einer Breite wie für 2 Zeichen. — *W.-F.* *πα[ν]τός;* Stein ΠΑΤΟΣ, ohne Correktur. — 5 am Ende *ἀντιτυνχάνων.* — 6 *οἱ ἱ[ε]ρεῖς,* Stein ΟΙΙΡΕΙΣ, ebenso 1866, 5; 2085, 5. Danach scheint es, dass der Steinmetz, der diese 3 Nummern einschlug, — und zwar zu verschiedener Zeit — wirklich so sprach. — Mit dem Sätzchen *καθὼς — θεῶι* in Z. 2 ist der Steinmetz aus dem Formular herausgekommen. — Der Dativ *Μενάνδρω* Z. 4 gehört natürlich zu *παραμεινάντω* in Z. 3 (vgl. 1852, 13 u. a.). — Z. 5 fehlt zu *κύριος ἔστω* die verbale Ergänzung *συλέων* (vgl. z. B. 1869, 7). — Die Schreibung des Nasals ist hier consequent, Z. 5 *ἀντιτυνχάνω[ν]*, Z. 6 *Ἄθανβος.* — Ueber *Θελπούσσιος* s. Meister II, 105.

Zeit. Priesterschaft III: October/November 175.

1866 *W.-F.* 201. C. v. B.

Ἄρχοντος Ἀρχελάου τοῦ Δαμοσθένεος μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀριστίων Ἐχεκρατίδα Δελφὸς τῶι | Ἀπόλ-

λωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνομα Δορκάς, τιμᾶς ἀργυρίου μνᾶν δυῶν. βεβαιωτὴρ κατὰ τὸν νόμον· Ἀνδρόνικος | Φρικίδα Δελφός. παραμεινάτω δὲ Δορκὰς παρὰ Ἀριστίωνα ἄχρι κα ζώη Ἀριστίων ποέουσα τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν | εὐνόως. εἰ δέ τί κα πάθη Ἀριστίων, ἐλευθέρα ἔστω Δορκὰς καὶ ἀνέφαπτος ἀπὸ πάντων κυριεύουσα αὑσωτᾶς, καθὼς ἐπίστευσε ‖ τῶι θεῶι τὰν ὠνάν. μάρτυροι· τοὶ ἱ(ε)ρεῖς τοῦ Ἀπόλλωνος Ἄθανβος, Ἀμύντας καὶ οἱ ἄρχοντες Ξένων, - - - Βούλων, Μελισσίων.

Ausser den verletzten Zeichen in *ἄχρι* (Z. 3) und *καθώς* (Z. 4) und der Schreibung ΤΟΙΙΡΕΙΣ (s. 1865, 6) ist alles korrekt, und *W.-F.* geben es so. — Z. 5 ist nach *Ξένων* unbenutzter Raum wie für 3 Zeichen. — Wegen *Ἄθανβος* s. 1865, 6. — Auf 1866 folgt 2085, dann 1867.

Zeit. Priesterschaft III: December/Januar 175/174.

1867 *W.-F.* 202. *Ditt.* 452. C. v. B.

Ἄρχοντος Μελισσίωνος μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Δαμοκράτεια Δαμοχάριος Δελφὶς τῶι Ἀπόλ|λωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνομα Σωσίχα, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, ὥστε παραμεῖναι ἔτη ἓξ φέρου|σαν τοῦ ἐνιαυτοῦ ἑκάστου ἡμιμναῖον. εἰ δέ τί κα πάθη Δαμοκράτεια, φερέτω Σωσίχα τὸ ἡμιμναῖον Καλλείδα Γοργίππου | ἦ ὧι κα Δαμοκράτεια παρατάξη. ἄρξει δὲ τοῦ χρόνου μὴν ὁ Ἀπελλαῖος ὁ ἐπὶ Ξενοχάρεος. εἰ δέ κα διεξέλθωντι τὰ ἓξ ἔτη, ‖ ἐλευθέρα ἔστω Σωσίχα τὸν πάντα βίον κυριεύουσα αὑσαυτᾶς, καθὼς ἐπίστευσε Σωσίχα τῶι θεῶι τὰν ὠνάν. | βεβαιωτ(ή)ρ· Ξενόστρατος, εἴ κα κατενέγκη τὸ ἀργύριον. εἰ δέ τίς κα ἅπτηται Σωσίχας ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχέ|τω τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀποδομένα Δαμοκράτεια καὶ ὁ βεβαιωτὴρ Ξενόστρατος. εἰ δέ κα μὴ παρέχωντι βέβαιον τὰν | ὠνάν, πράκτιμοι ὄντω τῶι θέλοντι ὑπὲρ τὸν θεὸν κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυχόντες κύριοι ὄντω συλέοντες | ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλ(λ)ωνος Ἄθαμβος, ‖ Ἀμύντας καὶ τοὶ ἄρχοντες Ἀνδρόνικος, Πραξίας, Ἀριστίων, ἰδιῶται Δαμοχάρης, Ἧρυς, Καλλίκων, Κλευφάνης, Καλλίερος.

Der Steinmetz war nicht sehr sorgfältig: Z. 1 schlug er *Δαμορὰτεια* ein und trug *κ* darüber nach; Z. 3 *ἡμιναῖον* und setzte *μ* unter *ι* u. *ν*; Z. 5 verschlug er sich nach *θεῶι*, denn *τὰν* steht in tiefer, ausgeschlagener Stelle; Z. 6 meisselte er *βεβαιωτρ* ein, ohne zu corrigiren; Z. 8 *τὸν* ⟨*θ* . .⟩

θεόν, schlug aber dittographisches ⟨*θεο*⟩ wieder aus, doch so, dass Θ noch durchscheint; Z. 9 nur *Ἀπόλωνος* (vgl. 1761, 4); Z. 10 Ende ΚΑΛΙ°, und er trug Α über ΚΛ nach. Von diesen Versehen notieren *W.-F.* S. 309 nur die von Z. 6 u. 9. — Bemerkenswert ist Z. 6 der Zusatz zu *βεβαιωτήρ*: er ist verantwortlich von dem Tage ab, an dem die Zahlung der letzten Rate des Lösegeldes erfolgt. Die Zeit der Bezahlung beginnt mit dem 1. Monat (*Ἀπελλαῖος*) des auf *Μελισσίων* folgenden Archontates (Z. 4), d. h. mit dem nächsten „Ersten“, weil die Freilassung ja im letzten Monate (*Ἰλαῖος*) des Archontates von *Μελισσίων* erfolgte.

Zeit. Priesterschaft III: Juni/Juli 176.

1868 *W.-F.* 203. C. v. B.

Ἄρχοντος Ξενοχάρεος μηνὸς Ἡραίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀριστοκράτεια Δελφὶς τῶι Ἀπόλλωνι τῶι Πυ|θίωι σῶμα γυναικεῖον ἆι ὄνομα Νικασώ, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Νικασὼ | τῶι θεῶι τὰν ὠνάν, ἐφ ὦιτ ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων, ποιέουσα ὅ κα θέληι καὶ | ἀποτρέχουσα οἷς κα θέληι. βεβαιωτήρ· Δαμένης, κατὰ τὸν νόμον. εἰ δέ τίς κα ἅπτηται Νικασοῦς, ‖ βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν ἅ τε ἀποδομένα Ἀριστοκράτεια καὶ ὁ βεβαιωτὴρ Δα|μένης· εἰ δέ κα μὴ παρέχωντι, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες | κύριοι ἐόντων συλέοντες ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας | καὶ ζαμίας. μάρτυρες· ὁ ἱερεὺς Ἄθαμβος καὶ οἱ ἄρχοντες Ἀνδρόνικος, Δρομοκλείδας, | ἰδιῶται Διόδωρος, Βάκχιος, Καλλίερος, Θεοδωρίδας, Γοργίας, Βούλων.

Erhaltung der Inschrift und Wiedergabe derselben bei *W.-F.* tadellos. — Z. 3 Vermischung der Formeln wie 1847, 6/7 u. a. In *ἐφ' ὦιτ' ἐλευθέραν* Sandhischreibung (1864, 3).

Zeit. Priesterschaft III: October/November 176.

1869 *W.-F.* 204. C. v. B.

W.-F. Z. 3 *μ[ν]ᾶν*, Stein MAN. — 7/8 *παρε χόντω*. — 10/11 *ἐόν|τω*. — 13 *μάρτυρες*. — 14/15 *Σωσικρά|της*. — 15 *Ἀστόξενος*. — Zum Wechsel in der Construction nach *ἐφ' ὅτωι* vgl. 1824, 4/5. — Nach Z. 4 u. 5 erhält *Δάμων* volle Freiheit, erst Z. 12 wird eine Clausel angefügt, die singulär ist: für 5 Jahre eine Art *παραμονά* gegen Gewährung von Unterhalt, Kleidung und Betten. — Zur Form *ἐν-δυ-δισκόμενος* Z. 13 (so der Stein) ist zu bemerken: Parallelen wie *τι-τύ-σκο-μαι* lehren, dass regelrecht nur die Schreibung *ἐν-δι-δυ-σκόμενος* sein kann. Der Steinmetz hat offenbar die Silben vertauscht. Im NT. h. *ἐν-δι-δύσκω* „anziehen lassen", hier steht das Particip für *ἐνδυόμενος*.

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1709.

1900 *W.-F.* 235. C. v. B.

Ἄρχοντος Φιλοκράτεος τοῦ Ξένωνος μηνὸς Βοαθόου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀστόξενος | Διονυσίου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Νῦσα, τ[ι]μᾶς ἀργυρί|ου

μνᾶν δέκα, καθὼς ἐπίστευσε Νῦσα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὅτωι ἐλευθέραν εἶ|μεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα χρόνον, ποιοῦσα ἅ κα θέλῃ καὶ ἀπο‖τρέχουσα οἷς κα θέλῃ. βεβαιωτὴρ κατὸν νόμον τᾶς πόλιος· Διονύσιος [Ἀ]σάνδρου. | εἰ δέ τίς κα ἐφάπτηται Νύσας ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶι θεῶι | τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἀστόξενος καὶ ὁ βεβαιωτήρ· εἰ δὲ μὴ παρέχοιεν βέβαιον τὰν | ὠνὰν τῶι θεῶι, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυχόντες | κύριοι ἐόντων συλέοντες ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι ‖ πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τῶν ἀρχόντων Ἀλκῖνος, ἰδιῶται Πλείστων, Δίων, | Ἀρτεμίδωρος, Ξένων, Καλλείδας.

W.-F. Z. 2 *τιμᾶς.* — 5 *κα[τὰ] τὸν νόμον,* Stein KATON, dagegen wie ggr. Z. 8. — 5 Ende *Ἀσάνδρου.*

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1891. Die Collegen des *Ἀλκῖνος* heissen *Βάκχιος* (1901, 8; 1902, 5; 1903, 13) und *Λαιάδας* (1924, 21).

1901 *W.-F.* 236. C. v. B.

Ἄρχοντος ἐμ μὲν Δελφοῖς Φιλοκράτεος τοῦ Ξένωνος μηνὸς Λαιδαφορίου, ἐν δὲ Λο|κροῖς ἀγωνοθετέοντος Νικέα τοῦ Δαμαρμένου Οἰανθέος μηνὸς τετάρτου, ἐπὶ τοῖσδε | ἀπέδοτο Καλλικράτεια Δεξικράτεος Τριτίς, συνευδοκέοντος καὶ τοῦ ἀνδρὸς Δαμοφίλου, | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Φιλοκράτης τὸ γένος Ἀπειρώταν, τι‖μᾶς ἀργυρίου μνᾶν ἕξ, ἐφ' ὧιτε ἐλεύθερον εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάν|τα βίον, καθὼς ἐπίστευσε Φιλοκράτης τὰν ὠνὰν τῶι θεῶι, ποιέων ὅ κα θέλῃ. βεβαιωτὴρ | κατὰ τὸ σύμβολον· Εὐάγγελος Πάτρωνος Δελφός, κελεύσαντος Δαμοφίλου. | μάρτυροι· τῶν ἀρχόντων Βάκχιος· Θεύξενος, Ἁγίων, Κλεόδικος, Ἀρτεμίδωρος, | Καλλείδας Εὐκλείδα, Εὐκράτης Καλλίκωνος Δελφοί, Θεοφάνης, Δαμόφιλος ‖ Τριτεῖς.

Bis auf die verletzten Zeichen in *μηνὸς τετάρτου* Z. 2 und *καί* in Z. 3 tadellos erhalten. S. 309 haben *W.-F.* die Anmerkung zu Z. 3: Inscr. TPITIIΣ. Das ist unrichtig; denn sie rechnen dann einen Steinriss für Jota. — Inconsequent *ἐμ μὲν* Z. 1, *τὸν πάντα* Z. 5; *Θεύ-ξενος* Z. 8 neben *Κλεό-δικος* und *Θεο-φάνης.* — Zur Schreibung *Οἰανθεύς* vgl. 1851, 14. — Z. 6 trug der Steinmetz das vergessene Sätzchen *ποιέων ὅ κα θέλῃ* nach; die Vorlage hatte es sicher nach *βίον.* — Z. 7 Der Zusatz *κελεύσαντος Δ.* wie 1785, 14. — Z. 8 nur ein Archont ist Zeuge; Z. 9 *Δαμόφιλος* ist der Gatte.

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1900.

1902 *W.-F.* 237. C. v. B.

Ἄρχοντος Φιλοκράτεος μηνὸς Ποιτροπίου, ἀπέδοντο Ἀναξὶς Ἐμμενίδα | καὶ Ἐμμενίδας Δεξικράτεος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνο|μα Διονύσιος τὸ γένος Θρᾶικα, τιμᾶς ἀργυρίου μνᾶν δύο, καὶ τὰν τιμὰν ἔχον|τι. βεβαιωτὴρ κατὰ τοὺς νόμους· Ἄρχων Καλλία. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλ||λωνος Ἀνδρόνικος καὶ τῶν ἀρχόντων Βάκχιος κα[ὶ] Ἀλκῖνος καὶ ἰδιῶται | Ἀστόξενος, Φίλαγρος Διοδώρου, Ἄθαμβος Ἀθανίωνος, Σωσύλος Ἀλκία.

Das Sigma von *νόμους* (Z. 4) fand ich verletzt, vom zweiten *καί* in Z. 5 sah ich Jota nicht: sonst ist die Inschrift tadellos erhalten und so von *W.-F.* wiedergegeben.

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1900.

1903 *W.-F.* 238. C. v. B.

Ἄρχοντος Φιλοκράτεος τοῦ Ξένωνος μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο | Ἀστόξενος Διονυσίου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Σωτή|ριχος τὸ γένος Θρᾶικα, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Σωτήρι|χος τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάν||τα χρόνον, ποιέων ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέ[λ]η. βεβαιωτὴρ κατὰ τὸν νό|μον τᾶς πόλιος· Ἀριστίων Ἄγωνος. εἰ δέ τίς κα ἐφάπτηται Σωτηρίχου ἐπὶ καταδου|λισμῶι, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Ἀστόξενος | καὶ ὁ βεβαιωτὴρ Ἀριστίων· εἰ δὲ μὴ παρέχοιεν βέβαιον τὰν ὠνὰν τῶι θεῶι, | πράκτιμο[ι] ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ ο[ἱ] || παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες ὡς ἐλεύθερον | ἐόντ-α ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας | καὶ ζαμίας. μάρτυροι· οἱ ἄρχοντες Βάκχι|ος καὶ Ἀλκῖνος καὶ ἰδιῶ|ται Σωσύλος Ἀλκία, Ξε||νόκριτος, Ἀντίφιλος, | Πλείστων, Ξένων Ξε|νοκρίτου, Τιμόκριτος.

W.-F. Z. 5 *οἷς κα θέλη*. — 9 *πράκτιμοι*. — 9 Ende *οἱ*. — 10 [πα]ρατ°, aber πα ist klar. — Zu Z. 11 notieren sie S. 309: Inscr. .ONTAAAΞAMIOI. Das ist unrichtig. Nach *ἐοντ*, dessen ε deutlich, ist ein Bruch, in dem ein α anzunehmen nicht angeht. Das α von *ἐόντα* setzte der Steinmetz hinter diesen Bruch und dann *ἀζάμιοι*: also EONT▨AAΞA°. — 15 *Ἀντίοχος* statt *Ἀντίφιλος*.

Zeit. Priesterschaft V (156—151). S. No. 1900.

1904 *W.-F.* 239. C. v. B.

[Ἄ]ρχοντος Ἥρυος τοῦ Πλείστωνος μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο | Δρομοκλείδας Ἁγίωνος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον παιδάριον ὧι ὄνομα Σωσᾶς, | [κ]αθὼς ἐπίστευσε τὰν ὠνὰν τῶι θεῶι Σωσᾶς, τιμᾶς ἀργυρίου μνᾶς κ-αὶ στατήρων πέντε, | ἐφ᾽ ὧιτε ἐλεύθερον εἶμεν Σωσᾶν τὸμ πάντα βίον, ποιοῦντα ὅ κα θέλη, καὶ τὰν τι||μὰν ἔχει πᾶσαν. βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Εὐάγγελος Πάτρωνος. πα|ραμεινάτω δὲ Σωσᾶς παρὰ Ἀρτεμίδωρον μανθάνων τὰν τέχναν τὰν γναφικὰν τὸν χρό|νον τὸν ἐν τᾶι συγγραφᾶι γεγραμμένον, ὃν καὶ παρισχέτω Σωσᾶς Δρομοκλείδαν ἀβλαβῆ ὑπὸ | τᾶς συγγραφᾶς. ἐπεὶ δέ κα μάθη Σωσᾶς τὰν τέχναν τὰν γναφικὰν καὶ ἀπέλθη παρὰ Ἀρτεμι|δώρου, ἐργαζέσθω τὰ ἔργα τᾶι γναφικᾶι τέχναι τὰ ἐν τὰν Δρομοκλείδα οἰκίαν πάντα· εἰ δέ τι || μὴ ποιήσαι Σωσᾶς τῶν γεγραμμένων, κύριος ἔστω Δρομοκλείδας ἐπιτιμέων Σωσᾶι τρό|πωι ὧι θέλοι. μάρτυροι· ὁ ἱερεὺς Ἀνδρόνικος καὶ οἱ ἄρχοντες Ξενέας, Ἀριστόβουλος, ἰδιῶ|ται Τιμόκριτος.

W.-F. Z. 1 *ἄρχοντος*. — 3 *καθώς*. — Zu dem *καὶ* vor *στατήρων* (Z. 3) ist zu bemerken, dass der Steinmetz nach *κ* einen ungeeigneten Zeichenplatz unbenutzt liess und danach *α* und *ι* einschlug. — Der Passus von Z. 6 ab ist eigenartig: *Σωσᾶς* soll bei *Ἀρτεμίδωρος* das Tuchscherergewerbe erlernen und diese Zeit über seinen Freilasser um nichts von dem verkürzen, was die Originalurkunde ausmacht. Hat er ausgelernt, so hat er dieses Gewerbe zu des *Δρομοκλείδας* Nutzen zu treiben. — Bemerkenswert ist Z. 7 der Gebrauch von *ἀπό*: wenn man von den Bestimmungen der Originalurkunde aus die Sache ansieht u. beurteilt; *παρίσχω* mit doppeltem acc. — Z. 11 *ἰδιῶται* Plural, obwohl nur ein Name folgt, wie 1791, 12 *οἱ ἄρχοντες*, 1880, 12 *οἱ ἱερεῖς*. — Z. 12 schliesst schon mit *Τιμόκριτος*, Z. 13 und 14 sind unbenutzt gelassen.

Zeit. Priesterschaft V (etwa 156—151); vgl. 1905, 9.

1905 *W.-F.* 240. C. v. B.

Ἄρχοντος Ἥρυος μηνὸς Ἐνδυσποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἄθαμβος Ἀγάθωνο[ς] | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἀμβροσία τὸ γένος Σύρα, τιμᾶς ἀρ|γυρίου μνᾶν δύο, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Ἀμβροσία τῶι θεῶι τὰν | ὠνάν, ἐφ᾽ ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ⟨πο⟩ πάντων τὸν πάντα βίον. βεβαι||ωτὴρ κατὰ τὸν νόμον· Ἄθαμβος Ἁβρομάχου. εἰ δέ τίς κα ἅπτηται Ἀμβροσίας ἐπὶ κατα|δουλισσμῶι, βέβαιον παρεχέτω

ὁ βεβαιωτὴρ Ἄθαμβος τῶι θεῶι τὰν ὠνάν. ὁμοίως δὲ | καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντω συλέοντες ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι | ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος | Ἀνδρόνικος, Ἀμύντας καὶ τῶν ἀρχόντων Ἀθανίων, ἰδιῶται Ἡρακλείδας, Μένης, Γλαῦ||[κ]ο[ς] Ξένωνος, Εὐθύδαμος, Τίμων Ξενία.

W.-F. Z. 1 Ἀγάθωνος. — 3 fehlt Ἀμβροσία nach ἐπίστευσε. — 4 ohne Angabe der Dittographie. — 6 Anfang ˌδουλισμῶι, S. 309 die Notiz über °ΣΣ°. — 9/10 Γλαῦˌκος. — Z. 2 erwarten wir Σύραν, aber solche Attraktionen finden sich, vgl. 1864, 2; 1938, 6; 1945, 4.

Zeit. Priesterschaft V (etwa 156—151).

1906 *W.-F.* 241. C. v. B.

[Ἄ]ρ[χ]οντος ἐν Δελφοῖς Ἀθάμβου τοῦ Ἁβρομάχου μηνὸς Ποιτροπίου, ἀπέδοτο Πραξίας Εὐˌδόκο[υ τ]ῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Μηνᾶς τὸ γένος Βειθυˌνόν, [τ]ιμᾶ[ς] ἀργυρίου μνᾶν ἕξ, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Μηνᾶς | τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὧιτε ἐλεύθερον εἶμεν Μηνᾶν καὶ ἀνέφαπτον ἀπὸ πάν||των τὸν πάντα χρόνον, ποιοῦντα ὅ κα θέλη καὶ ἀποτρέχοντα οἷς κα θέλη. βεβαιω|τὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Ἀστόξενος Διονυσίου. εἰ δέ τις ἅπτοιτο | [Μη]νᾶ ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε | [ἀπ]οδόμενος καὶ ὁ βεβαιωτήρ. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες

W.-F. Z. 1 ἄρχοντος. — 1/2 Εὐ|δόκου τῶι. — 3 τιμᾶς. — 8 ἀποδόμενος. — S. 309 bemerken sie: Inscription inachevée dans l'original. Hinter den 8 Zeilen ist noch viel Platz auf dem Steine. Einige Linien sind schon vorgezogen.

Zeit. Priesterschaft V (etwa 156—151); vgl. 1691, 1709 u. a.

1907 *W.-F.* 242. C. v. B.

Ἄρχοντος Εὐαγγέλου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο | Ἀρίστων Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα | γυναικεῖον ἇι ὄνομα Κλεονίκα, τιμᾶς ἀργυρίου μνᾶν | πέντε, καθὼς ἐπίστευσε Κλεονίκα τῶι θεῶι, ἐφ' ὧτε || ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα | βίον, ποιοῦσα ὅ κα θέλη καὶ ἀποτρέχουσα οἷς κα θέλη. | βεβαιωτῆρες κατὰ τὸν νόμον· Καλλίστρατος, | Ἀριστόμαχος Δελφοί. εἰ δέ τίς κα ἅπτηται Κλεονίκας, | βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος || Ἀρίστων καὶ οἱ βεβαιωτῆρες· εἰ δέ κα μὴ παρ-

ἔχωντι, | πρᾶξιν ποιούντω κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυν|χάνοντες κύριοι ὄντω συλέοντες ὡς ἐλευθέραν οὖσαν | ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. | μάρτυρες· Ἀνδρόνικος· Πραξίας, Δαμοχάρης, Καλλίων, ‖ Ταραντῖνος.

W.-F. Z. 4 *ὤιτε,* aber Jota fehlt. — In Z. 11 vergass der Steinmetz zunächst *τ* von *παρατυν*|°, setzte es aber oben zwischen Α und Υ noch nachträglich ein. Er liess uncorrigiert die Weglassung des Objekts in Z. 4. Vgl. 1705, 5; 1865, 2; 1912, 6. — Der Nasal ist hier aus- und inlautend noch consequent geschrieben: *εἶμεν καί* (Z. 5), *Ἀρίστων καί* (Z. 10), *Εὐανγέλου* (Z. 1) und *παρατυνχ°* (Z. 11), dann *τὸν πάντα* (Z. 5) und *πρᾶξιν ποι°* (Z. 11).

Zeit. Vielleicht Priesterschaft III: Juni/Juli 178. Es fehlen die Priester, aber der 1. Zeuge ist gewiss der Archont *Ἀνδρόνικος;* vgl. 1918, 15.

1908 *W.-F.* 243. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν Ἀλεξάνδρου Κα|λυδωνίου μηνὸς Λαφριαίου, τῶν δὲ Λοκρῶν ἀγωνο|θετέοντος Τελεσάρχου τοῦ Δαμοτέλεος μηνὸς Δι|νῶνος, ἐν δ' Οἰανθείαι ἄρχοντος Ἁρμοδάμου μηνὸς | Ἀπελλαίου, ἐν δὲ Δελφοῖς ἄρχοντος Φιλοκράτεος | μηνὸς Ποιτροπίου τοῦ πρώτου, ἀπέδοτο Ἀρίστιων Δη|μητρίου, Θεόδοτος Ἀρίστωνος Οἰανθεῖς τοῖ Ἀπόλλω|νι τοῖ Πυθίοι σῶμα ἀνδρεῖον ἐπ' ἐλευθερίαι ὥι ὄνομα | Νικόστρατος τὸ γένος ἐξ Ἄνεος, τιμᾶς ἀργυρίου ‖ μνᾶν τεσσάρων. βεβαιωτῆρες κατὰ τοὺς νόμους· Λέ|ων Πυθέα Οἰανθεύς, Ἁρμόξενος Πολυπείθεος Στράτι|ος. μάρτυροι· Ξενίας, Λέων Δάμωνος Ἀρσινοεῖς, Λέων | Πυθέα Οἰανθεύς, Ξενοκράτης Εὐδαμίδα Χα|ληεύς, Ξενοκράτης Ξενοκράτεος, Ἁρμόξενος, ‖ Πολύφρων Πολυπείθεος, Ἀρίστιων Πύῤῥου, Τί|μων Τιμοθέου Στράτιοι, Θεύδοτος Ἀριστίω|νος Οἰανθεύς, Ξενόκριτος Ποτάμωνος Τριχο|νεύς. τὰν ὠνὰν φυλάσσοντι Πολύφρων | Πολυπείθεος Στράτιος, Ἀρίστων Πύῤῥου ‖ Στράτιος.

Erhaltung und Wiedergabe bei *W.-F.* tadellos. Sehr inconsequent ist der Steinmetz, wenn er *Θεόδοτος* (Z. 7) und *Θεύδοτος* (Z. 16), bald Dative auf *-οι* (*τοῖ, Πυθίοι*), bald auf *-ωι* (*ὥι*) einschlägt, wenn er Z. 6 den Singular (vgl. so auch 1847, 1; 1879, 1), Z. 18 den Plural bei zwei asyndetisch angereihten Subjekten giebt. Zum Dialekte der *Οἰανθεῖς* (vgl. 1851, 14) stimmt die Form *Δημητρίου* nicht. S. 1922, 5. Mit *Χαληεύς* Z. 13 (s. 1927, 3) vgl. Schreibungen wie *Ἡρακλήου* (1685, 1), *Μενεκράτηα* 1827, 1, *ἀνδρῆον* 1785, 4. Die Bürgen sind nochmals unter den Zeugen genannt (s. 1922), ebenso der zweite Verkäufer (ob der Sohn des ersten?).

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1900.

1909 *W.-F.* 244. Cauer 214. C. v. B.

Ἄρχοντος Πραξία μηνὸς Ἀμαλίου, ἀπέ|δοτο Φιλοκράτης Θεοφράστου Δελφὸς | τοῖ Ἀπόλλωνι τοῖ Πυθίοι σῶμα ἀνδρεῖον | οἶ ὄνομα Κῶμος, τιμᾶς ἀργυρίου μνᾶν δεκα||τριῶν, καθὼς ἐπίστευσε τοῖ θεοῖ τὰν ὠνὰν Κῶμος. βεβαι|ωτὴρ κατὰ τὸν νόμον· Πραξίας Εὐδόκου. κατενενκάτω δὲ Κῶ|μος Φιλοκράτει ἀργυρίου μνᾶς δεκατρεῖς ἐν ἐτέοις δεκατρίοις | φέρων τοῦ ἐνιαυτοῦ μνᾶν ἐν τὸν ἔρανον τὸν Ἀρχελάου. εἰ δέ τι | πάθοι Φιλοκράτης, κατενενκάτω τὸ ἀργύριον τοῖς ἐπινόμοις Θεο||φράστοι, Ξένωνι Κῶμος, ἑκατέροι τὸ μέρος. εἰ δὲ τοῦ ἐπιλοίπου | ἀργυρίου τις ἐνάπτοιτο Κώμου ἢ ἀντιποιέοιτο κατενένκαντος | τὸ ἀργύριον, κύριοι ἐόντω οἱ βουλευταὶ καὶ ὁ θέλων συλέων | ἐπ' ἐλευθερίαι ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι. μάρτυ|ρες· οἱ ἄρχοντες Καλλίας, Δαμένης, Βάκχιος· Ἧρυς Πλείστωνος, || Κλεόδαμος Ἀγεισίδα, Πάτρων Ἰατάδα, Εὔαρχος Μενέστα, Δίκα|ιος, Δέξιππος, Κλέων Ξενοφίλου.

Bis auf 2 Zeichen in Z. 6 und das *π* in *ἐπιλοίπου* Z. 10 ist alles gut erhalten und correct von *W.-F.* wiedergegeben. Z. 6 Ende sieht wie ΚΩΙ aus, so dass man *Κῶ⟨ι⟩|μος* zu schreiben versucht sein könnte. Das verbietet die Beobachtung über die Dative der 2. Decl., wovon gleich hernach. Ich fasse lieber die Sache so auf, dass der Steinmetz anfänglich nach ΚΩ noch *μ* einschlagen wollte, nach dem 1. Schlage aber, der die linke Seitenhasta des *μ* darstellt, die Unzulänglichkeit des Platzes für die ganze Silbe erwog und deshalb das Zeichen voll auf den Anfang von Z. 7 setzte. Allerdings muss auf Grund von Z. 15/16 constatiert werden, dass er ein Abteilen nach Silben nicht beabsichtigte. — Von dem Dative der 2. Decl. kommen 8 Formen vor, und sie endigen durchgängig auf *-οι;* vgl. Z. 3, 4, 5, 9, 10. Consequent heisst der Nasal vor einem Guttural *ν*, sowohl aus- (Z. 5 zweimal) als inlautend (Z. 6, 9, 11). — Mit *κατενένκαντος* Z. 11 vgl. *κατενέγκαι* 1804, 3; *κατενεγκάτω* 1804, 2; *κατενεγκάσας* 1804, 7.

Zeit. Priesterschaft III: Jan./Febr. 177; vgl. Z. 14 mit 1929, 9/10.

1910 *W.-F.* 245. C. v. B.

Ἄρχοντος Ἀθάμβου μηνὸς Ἡρακλείου, ἀπέδοτο Ἐμμενίδας Καλλία | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνομα Κλεώ, τιμᾶς | ἀργυρίου μνᾶν δύο, καὶ τὰν τιμὰν ἔχει. βεβαιωτὴρ κατὰ τὸν νόμον· | Θεόξενος Καλλία. καθὼς ἐπίστευσε Κλεὼ τῶι θεῶ τὰν ὠνάν, || ἐφ' ὧι ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος, ποιοῦσα ὅ κα θέλη καὶ ἀποτρέ|χουσα ἇ κα θέλη. εἰ δέ τίς κα ἐφάπτηται ἐπὶ καταδουλώσει Κλεοῦς, | βέβαιον παρεχόντω τὰν

Z. 7 ist nicht fortgesetzt worden, ausserdem ist für 2 andere Zeilen Platz gelassen. — *W.-F.* Z. 4 *τῶι θεῶι,* aber *θεῶ* hat der Stein.

Zeit. Priesterschaft V (etwa 156—151); vgl. 1691, 1709 u. a.

1911 *W.-F.* 246. C. v. B.

Ἄρχοντος Φιλοκράτεος μηνὸς Βουκατίου, ἀπέδοτο Κρατὼ Μεσατέος, | συνευδοκεόντων καὶ τῶν υἱῶν αὐτᾶς Μεσατέος καὶ Νικάρχου, τῶι | Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Εἰράνα τὸ γένος Ἀρ|μενίαν, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶσαν. βεβαι||ωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Νίκαρχος Ἐράτωνος. καθὼς ἐπίστευσε τὰν ὠνὰν Εἰράνα τῶι θεῶι, ἐφ᾽ ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος | ὑπὸ πάντων, ποιοῦσαν ὅ κα θέλη καὶ ἀποτρέχουσα ἇι κα θέλη. μάρτυροι· | τοὶ ἱερεῖς τοῦ Ἀπόλ(λ)ωνος Ἀμύντας, Ἀνδρόνικος καὶ ἰδιῶται Φιλοκράτης, | Ἄθαμβος Ἁβρομάχου, Μελισίων, Σωσίνικος.

W.-F. Z. 6 ἀνέφαπτο[ς], 7 μάρτυ[ροι], aber beide Zeilenenden stehen klar da. — S. 309 merken sie über die Schreibung des Götternamens in Z. 8 an: *Inscr.* ΑΠΟΛΩΝΟΣ. Vgl. 1761, 4 u. Index. — Ueber den Namen *Μεσατεύς* s. zu 1708, 33, die Freilasserin 1721, 1. — Zu Z. 7 vgl. 1854, 16/17; zu *ἀνέφαπτος ὑπό* 1895, 6. — Z. 8 *Φιλοκράτης* ist wohl der *ἄρχ. ἐπών.* Vgl. 2022.

Zeit. Priesterschaft V (etwa 156—151).

1912 *W.-F.* 247. C. v. B.

Ἄρχοντος ἐν Ἀμφίσσα Δωροθέου μηνὸς Ἀγραστυῶνος, ἐν Δελφοῖ|ς δὲ ἄρχοντος Φιλοκράτεος μηνὸς Βουκατίου, ἀπέδοτο Δαμαίνετος | Ἀριστοβούλου Ἀμφισσεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον | ἇι ὄνομα Φυσίς, ἃν ἐπρίατο αὐτὸς παρὰ Ἀριστάρχου καὶ Δαμῶς Ἐριναίων, || τιμᾶς ἀργυρίου μνᾶν τριῶν, τὰν τιμὰν ἔχει, ὥστε ἐλευθέραν εἶμεν | καὶ ἀνέφαπτον ἀπὸ πάντων, καθὼς αὐτὰ ἐπίστευσε Φυσὶς τῶ θεῶ. | βεβαιωτήρ· Λύκωπος Λίκου Ἀμφισσεύς. ἁ ὠνὰ ἐν τῶ ἱερῶι καὶ παρὰ τὸν | νακόρον Μένητα καὶ ἀντιγραφὰ παρὰ Πανκλῆ. μάρτυροι· ὁ ἱερεὺς | Ἀνδρόνικος καὶ ὁ νακόρος Μένης καὶ ἰδιῶται Πανκλῆς, Τίμων, || Δωρόθεος, Θεότιμος.

Diese Inschrift ist noch jetzt tadellos erhalten und von *W.-F.* bereits correct wiedergegeben worden. Die Behandlung der Dative der 2. Decl. ist wirklich so inconsequent, wie es der Text oben zeigt: Das Jota fehlt 4mal (Z. 1, 6, 7) und steht 5mal (Z. 3, 4, 7). — Z. 6 gab der Steinmetz ohne *τὰν ὠνάν,* so auch 1913, 13 u. a. — Der *Δωρόθεος* von Z. 10 ist gewiss der Archont aus Amphissa, der zur Feierlichkeit des Loskaufs mit dem Freilasser und dem Freizulassenden zugleich ins delphische Hieron hinaufgepilgert war. — Die Nummern 1912 und 1913 sind gleichzeitig, auch ihre Abfassung ist eine gleichartige, vgl. 1912, 7 ff. u. 1913, 14 ff.

Zeit. Priesterschaft V (etwa 156—151).

1913 *W.-F.* 248. C. v. B.

[Ἄρχοντ]ο[ς ἐν Ἀμφίσσαι Δω]||[ροθέου] μη[νὸς Ἀγραστιῶ]|-[νος, ἐν Δ]ε[λφοῖς δὲ ἄρχον]||[τος Φιλοκράτεος μη]||[νὸς Βου]-κ[ατίου, ἀπέ]δοτο | [Λύκωπος Ἀμφισσε]ὺς τῶ Ἀ|π[όλλωνι τῶ Πυθί]ω σῶμα | γυ[ναικεῖον ἆι ὄνομ]α Ἀρίστι|ον γ[ένος οἰκο]γενῆ, τιμᾶς || ἀργυ[ρί]ο[υ μνᾶν] τριῶν, τὰν τι|μ[ὰ]ν ἔχει, ὥ[στε ἐλ]ευθέραν εἶμεν Ἀ|ρίστιον καὶ [ἀνέ]φαπτον ἀπὸ πάν|-των, καθὼς αὐ[τ]ὰ [ἐπί]στευσε Ἀρίστιον | τῶ θεῶ. βεβαιωτὴρ· [Π]αγκλῆς Λαάρχου Ἀμ||φισσεύς. ἁ ὠνὰ ἐν τῶ ἱερῶ καὶ παρὰ τὸν να|κόρον Μένητα καὶ ἀντίγραφον παρὰ Παγκλῆ. | μάρ-τυροι· ὁ ἱερεὺς Ἀνδρόνικος καὶ ὁ νακόρος | [Μέ]νης καὶ ἰδιῶ-ται Παγκλῆς, Τίμων, Δωρόθεος, | [Θεό]τιμος.

W.-F. geben die Inschrift ohne jede Lücke. Oben ist durch Klammern und Schraffierung klar gemacht, in welch schlechtem Zustande der Stein sich jetzt befindet. Die Z. 1—5 sind fast ganz weg, von Z. 6 und 7 ab erhielten sich die Anfänge und Enden besser, und die Lücke nimmt allmählich ab, bis Z. 14 nur 1 Zeichen noch fehlt. Der Riss reicht aber noch in Z. 15 hinein, so dass man daselbst entweder *ἐν τῶ ἱερῶ* oder *ἐν τῶι ἱερῶ* lesen könnte; ersteres geben *W.-F.* — In Z. 18 u. 19 sind die Anfänge der Zeilen um 2 bis 3 Zeichen ausgebrochen. — Aus der Gleichzeitigkeit der Abfassung mit 1912 (s. daselbst die Anmerkung) erklärt sich die Uebereinstimmung beider Nummern in den Persönlichkeiten und in ihrer Abfassung. — Ob nicht Z. 9, wie sonst, *τὸ γένος* stand? Also *τ[ὸ γένος οἰκο]γενῆ*?

Zeit. Priesterschaft V (etwa 156—151).

1914 *W.-F.* 249. C. v. B.

[Ἄρχον]τος Φιλοκράτεος μηνὸς Ποιτροπίου, ἀπέδοτο | [Δαμὼ Τ]ιμαγόρου, συνευδοκεόντων τᾶς θυγατέρος | [αὐτᾶς Νι]κίου καὶ τῶν τᾶς θυγατέρος υἱῶν Λυκίσκου, | [Ξένωνος], τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναι|[κεῖον ἆι ὄνο]μα Βολλίθα τὸ γένος οἰκογενῆ, τιμᾶς ἀργυ||[ρίου μνᾶν δύο], καὶ τὰν τιμὰν ἔχει, καθὼς ἐπίστευσε τὰν ὠνὰν [Βολλίθα τῶι θεῶι, ἐφ᾽] ὅτωι ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον τὸμ πάν|[τα βίον, ποιέουσα ὅ κ]α θέληι καὶ ἀποτρέχουσα οἷς κα θέλη. βεβαιωτὴρ | [κατὰ τὸν νόμον· Βάκχιος] Ἄγρωνος. μάρτυροι· τῶν ἀρχόντων Ἀλκῖ||[νος, Βάκχιος, ἰδιῶται] Δαμ[ένη]ς, Ἀνδρομένης Βαβύλου.

W.-F. fanden die Inschrift fast ganz unlädiert: Z. 7 u. 8 fehlten zu Anfang nur 2 Zeichen; daher hat ihr Text Z. 7 [*Βό*]*λλιθα* und 7/8 *πάν*|[*τα*]. Seitdem hat die Abbröckelung des Steines sehr zugenommen, und sämtliche Zeilenanfänge sind betroffen, und zwar so, wie ich's oben durch

Klammern ausgedrückt habe. In den Zeilenenden sind nur vereinzelte Zeichen beschädigt (vgl. die Schraffierungen in Z. 1, 5, 6, 8 u. 9). — Wenn *Βολλίϑα* (*W.-F.* *Βόλλιϑα*) griechisch ist, so vergleicht man der Bildung nach *Ἄλκι-ϑο-ς*. Im ersten Teile könnte *βολο-* stecken (*Εὔ-βολο-ς, Εὐϑυ-, Ἐπή-βολος* u. s. w.). Die Verdoppelung des *λ* wäre dieselbe wie in *Ἑλλ-άς* neben *Ἕλος*, in *Πτολλ-αρίωνος* CJ. 1296, *Πολλ-ίς* oben 1702, 2, *Φιλλ-έας* 1730, 2, das Jota dasselbe wie in *Τελικράτης*, *Ἀρχιτέλης*, *Πειϑί-δημος*, *Ἀπολλίδωρος* (Vf. Stud. I 62).

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1900.

1915 *W.-F.* 250. C. v. B.

Ἄρχοντος [Φιλο]κράτε[ο]ς μηνὸς Θευξενίου, ἀπέδοτ[ο] Φίλων | Ἀριστέα, συνευδοκεόντ[ω]ν καὶ τῶν υἱῶν Τίμωνος, σῶμα ἀνδρεῖ|[ο]ν ὧι ὄνομα Ἰάσων τὸ γέ[νος Ἀ]ρμένιον, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχει [πᾶσαν], καϑὼς ἐπίστευσε Ἰάσων τῶι ϑεῶι || τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλεύ[ϑερο]ν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων | τὸμ πάντα βίον, ποιέων [ὅ κα] ϑέλῃ· εἰ δέ τις ἐφάπτοιτο Ἰάσωνος ἐπ[ὶ] | καταδουλ[ι]σμῶι, κύριος ἔ[στω] συλέων ὁ παρατυχὼν ἀζάμιος ὢν καὶ ἀ|νυπόδικος πάσας δίκας κ[αὶ] ζαμίας. βεβαιωτῆρες κατὰ τοὺς νόμους τᾶς πόλιος· Τίμων Φίλω[νο]ς, Φίλων Ἀριστέα. μάρτυροι· ὁ ἱερεὺς || τοῦ Ἀπόλλωνος Ἀνδρόνι[κ]ος καὶ οἱ ἄρχοντες Ἀριστίων Ἄγωνος, Ἀστόξε|νος, ἰδιῶται Εὐκλείδας Κ[άλλ]ωνος, Τείσων Θευχάριος, Μένης.

Die Inschrift steht auf demselben Polygon wie 1913 und 1914. Die Verletzungen, die wir dort beobachteten, setzen sich hier fort. Wie man aus dem Texte sieht, haben alle Zeilen in der Mitte eine Lücke. Sie ist in Z. 4 am breitesten: da fehlen 5 Zeichen, und wird nach oben und unten schmäler, so dass Z. 1 u. 2 und Z. 10 nur ein Zeichen mangelt; Z. 11 sind wieder 3 ausgebrochen. *W.-F.* sahen auch diese Inschrift völlig intakt und geben den Text ohne jedes Klammerzeichen. — Der Freilasser begegnet öfter als Zeuge (1733, 11; 1760, 13; 1798, 23; 1815, 13). Seltsam ist, dass hier sein Name Z. 1 als der des Freilassers und Z. 9 als der eines Bürgen angeführt wird, seltsam, dass Z. 2 trotz des Plurals *τῶν υἱῶν* nur *Τίμωνος* folgt. In Z. 9 erkläre ich mir die Confusion so, dass der Steinmetz die Periode von *κύριος* (Z. 7) ab noch im Sinne hatte, damit zusammen erst das Subjekt *ὁ παρατυχών*, dann aber auch ⟨*καὶ*⟩ *βεβαιωτῆρες* construierte und, wie er *Τίμων Φίλωνος* eingeschlagen hatte, meinte, es gehe *οἱ ἀποδόμενοι* voraus und so ganz irrtümlich *Φίλων Ἀριστέα* unter die Bürgen setzte. Der Sohn ist es ja oft, vgl. 1684, 7; 1739, 13; 1788, 9. Möglich ist auch, dass ihm die Phrase *βέβαιον δὲ παρεχόντω τὰν ὠνὰν ὁ βεβαιωτὴρ καὶ ὁ ἀποδόμενος* vorschwebte.

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1891.

1916 *W.-F.* 251. C. v. B.

Ἄρχοντος Εὐα[γγέ]λου μηνὸς Βοαθόου, ἐπὶ τοῖσδε ἀπέδοτο | Αἰνήσιον Μαντί[α Δε]λφὶς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀν|δρεῖον [ὧ]ι ὄνομα [Σω]σίνης, τιμᾶς ἀργυρίου μνᾶν πέντε, κ[α]|θὼς ἐπίστευσε Σωσίνης τῶι θεῶι τὰν ὠνάν. βεβαιωτ[ῆρ]ες ‖ [κα]τὰ τὸν νόμον· Α[ἰ]ακίδας, Μαντίας Φιλαιτώλου Δελφοί. [πα]α[ρ]α|μεινάτω δὲ Σωσίνης παρὰ Αἰνήσιον ἔτη ἓξ [π]οέων τὸ ποτιτ[α]σ|σόμενον πᾶν τὸ δυνα[τ]ὸν ἀνεγκλήτως· εἰ δέ κα παραμείνηι τὰ ἓξ | ἔτη καθ[ὼ]ς γέγρα[π]ται, [ἐ]λεύθερος ἔστω Σωσίνης κυριεύων αὐ|[τ]οσαυτοῦ [κ]αὶ ποιέων ὅ κα θέληι, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ‖ ὠνάν. [ε]ἰ δ[έ] τίς κα ἅπτηται Σωσίνεος διελθόντος τοῦ χρόνου | ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντω τῶι θεῶι τὰν ὠνὰν ἅ τε | ἀ[πο]δο]μέ[να Α]ἰνήσιον καὶ οἱ βεβαιωτῆρες κατὰ τὸν νόμον. ὁμοί|ως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες ὡς | ἐλ[ε]ύθερον ὄντα ἀζάμ[ι]ο[ι] ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας ‖ [κ]αὶ ζαμίας. μάρτυρες· ὁ ἱερεὺς Ἄθαμ[β]ος, τῶν δὲ ἀρχόντων | Βούλων, Μελισσ[ί]ων, ἰδιῶται Δαμοχάρης Καλλείδα, | Σώσιππος, Λαχάρης, Ἐπιχάρης.

In dieser Nummer sind viele einzelne Zeichen ausgebrochen und verletzt. — *W.-F.* Z. 2 *Μαντία [Δε]λφίς.* — 3 *ᾧι ὄνομα Σωσίνης*, am Ende *κα|θώς.* — 4 *βεβαιωτῆρες.* — 5 *κατά*, dann *Αἰακίδας*, am Ende *παρα μεινάτω.* — 6 *ποέων τὸ ποτιτασ|σόμενον.* — 7 *δυνατόν.* — 8 *καθὼς γέγραπται, ἐλεύθερος.* — 8/9 *αὐ|τὸς αὐτοῦ καί.* — 10 *εἰ δέ τίς κα.* — 12 *ἀποδομένα Αἰνήσιον.* — 14 *ἐλεύθερον*, dann *ἀζάμιοι*, wo man zwischen *ἀζάμ[ι]ο[ι] ὄντες* und *ἀζάμ[ι]' ὄντες* (vgl. 1748, 12) schwanken könnte. — 15 *καὶ ζαμίας*, dann *Ἄθαμβος.* — 16 *Μελισσίων.*

Der Name *Σωσί-ν-ης* vergleicht sich mit solchen wie böot. *Βιό-ττ-εις* und ist gleichsam Kurzform zu °*νίκ-ης* (in *Κλεο-νίκ-εος* arkad. GDJ. 1231 B, 8, im Suffix umgebildet wie *Θεο-φίλ-εος* 3348, 1).

Zeit. Priesterschaft III: September/October 179.

1917 *W.-F.* 252. C. v. B.

Στραταγ[έ]οντος Λοχάγου Καλλιπολίτα μηνὸς Δίου, ἐν Δελφοῖς δὲ | ἄρχοντ[ος Ε]ὐαγγέλου μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοντο Ἀρι|στομένη[ς, Κ]αλλίμαχος Ἀριστοκλέος Ἀμφισσεῖς τῶι Ἀπόλλωνι | τῶι Πυθ[ίωι] σῶμα ἀνδρεῖον ὧι ὄνομα Ἀγαθοκλῆς, τιμᾶς ἀργυρίου ‖ μνᾶν τρι[ῶ]ν καὶ ἡμιμναίου, καθὼς ἐπίστευσε Ἀγαθοκλῆς τῶι θε|ῶι τὰ[ν ὠ]νά[ν], ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάν|των τὸμ πάντα βίον, ποέων ὅ κα θέληι. βεβαιωτῆρες κατὰ τὸν νό|μον καὶ τὰν

συμβολάν· Πασῖνος Ἀγρολέωνος Ἀμφισσεύς, Ἀνδρό|νικος Πατρέα Δελφός. μάρτ[υ]ρες· Μνάσων Ξένωνος, Σώτιμος || [Μέ]νωνος Δελφοί, Στράτων, Κλέανδρος, Δωρόθεος Ἀρχελάου, | [. . . (.)]όλαος Ἀνδρομένεος Ἀμφισ[σ]εῖς.

In den Anfängen der ersten 6 Zeilen befindet sich jetzt nach dem 6. oder 7. Zeichen eine Lücke: *W.-F.* Z. 1 *στραταγέοντος.* — 2 *ἄρχοντος Εὐαγγέλου.* — 3 *Ἀρι|στομένης, Καλλίμαχος.* — 4 *Πυθίωι.* — 5 *τριῶν.* — 6 *τὰν ὠνάν.* — 9 *μάρτυρες.* – 9/10 *Σώτιμος | . . νωνος.* Ich notierte für den Zeilenanfang: „2 bis 3 Zeichen möglich". Höchst wahrscheinlich ist der Freilasser von 1724, 2 hier gemeint. — 11 | . . . *όλαος.* Ich notierte: „3 bis 4 Zeichen möglich". Am Schlusse *Ἀμφισσεῖς.*

Zeit. Priesterschaft III: December/Januar 179/178.

1918 *W.-F.* 253. *Ditt.* 449. C. v. B.

[Ἄρχον]τος Εὐαγγέλου μηνὸς Ἐνδυσποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδο|[ντο Ἱε]ροκ[λῆς] καὶ Ἱερόκλεια τῶι Ἀπόλλωνι σῶμα γυναικε|[ῖον ἇι ὄν]ο[μα] Ἀγαθαμερίς, τιμᾶς ἀργυρίο[υ] μνᾶν πέντε, καθὼς ἐπί|[στευσε Ἀγαθα]μερὶς τὰν ὠνὰν τῶι θεῶι. βε[β]αιωτὴρ κατὰ τὸν νό||[μον τᾶς πόλι]ος· Μνάσων Ξένωνος. παραμεινάτω δὲ Ἀγαθα|[μερὶς παρ]ὰ Ἱεροκλῆ καὶ (Ἱ)ερό-κ⟨κ⟩λειαν ποιοῦσα τὸ ποτιτασσό|[μενον πᾶν τὸ] δυνατὸν ἄχρι κα ζώη Ἱερ⟨ρ⟩οκλῆς καὶ Ἱερόκλεια. εἰ δέ τί κα | [πάθ]ωντι Ἱεροκλῆς καὶ Ἱερόκλεια, τοῦ θεοῦ ἔστω Ἀγαθαμερὶς τὸ|[ν] πάντα βίον, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. βέβαιον || [δ]ὲ παρεχόντω τὰν ὠνὰν τῶι θεῶι οἵ τε ἀποδόμενοι Ἱεροκλῆς καὶ Ἱερόκλεια καὶ ὁ βεβαιωτὴρ Μνάσων, Θευγ|ένης. εἰ δέ τίς κα ἀνθάπτηται Ἀγαθαμερίδος, κύριος ἔ(σ)τω ὁ ἀντιτυγχάνων συλέων ὡς ἐλευθέρας οὔσας, καθὼς ἐπίστευσε τὰν ὠνὰν Ἀγαθαμερίς, ἀζαμίοις ἐόντοις | καὶ ἀνυποδίκοις πάσας δίκας. μάρτυρες· Μελισσίων, | Καλλικλῆς, Διον[ύ]σιος, Σωδαμίδας, Θρασέας, || τῶν ἀρχόντων Ἀνδρόνικος.

Die Zeilenanfänge von 1—10 haben hier sehr gelitten: *W.-F.* Z. 1 *ἄρχοντος.* — 1/2 *ἀπέδο|[ντο Ἱε]ροκ[λῆς].* — 2/3 *γυναικε|[ῖον ἇι ὄνομα].* — 3/4 *ἐπί|[στευσε Ἀγαθα]μερίς,* ebenso Z. 4—9 mit denselben Lücken wie oben. — 10 *δὲ παρεχόντω.* — Auch im Innern der Zeilen sind einige Zeichen verloren gegangen: *W.-F.* Z. 3 *ἀργυρίου.* — 4 *βεβαιωτήρ.* — 6 *καὶ Ἱερόκλειαν,* Stein ΚΑΙΕΡΟΚΚΛ° (s. 1919, 2). — 7 *Ἱεροκλῆς,* ohne Angabe der Dittographie. — 11 mit der Notiz S. 309: *ἔ[σ]τω.* *Inscr.* ΕΤΩ. — 14 *Διονύσιος.* — Der Steinmetz war sehr wenig sorgfältig: Z. 1 liess er *ιου,* die 3 letzten Buchstaben des Monatsnamens, weg und setzte sie über ΠΕ; Z. 12 liess er ΑΝ weg und setzte sie über, und zwar in ΩΝΑΓ über die An-

fangsbuchstaben des Namens; zu diesen Flüchtigkeiten gehören auch die zwei zu Z. 6 und 7 angemerkten Dittographien und die Weglassung eines Zeichens in Z. 6. Wenn er Z 4/5 nur einen Bürgen einschlägt, so möchte man's auch zu den Versehen rechnen, dass er Z. 10 auf einmal 2 bringt. *W.-F.* sagen deshalb S. 309: L'insertion de ce dernier nom ne peut être attribuée ici qu' à une erreur du lapicide. Dans toute cette inscription, il y a un grand désordre de rédaction, und Dittenberger pflichtet ihnen bei: hoc nomen incuria lapicidae loco plane alieno insertum esse monuerunt *W.* et *F.* Ich meine aber, dass das Versehen in Z 4/5 zu suchen ist, dass der Steinmetz nach *βεβαιωτήϱ* (vgl. 1743, 4/5; 1991, 7) die 2 Namen von Z. 10 auch dort zu geben hatte. Dass der Name *Θευγένης* nicht aus der Luft gegriffen ist, lehrt 1778. Nach Z. 1 dieser Inschrift ist *Θευγένης* Sohn von *Ἱεϱοκλῆς* und *Ἱεϱόκλεια*, und nach Z. 3/4 ist er Bürge bei der Freilassung von *Κλεώ*. So ist's doch sehr wahrscheinlich, dass hier dieselben Verhältnisse anzunehmen sind. Wie 1724, 5; 1757, 16; 1778, 6, begegnet auch hier Z. 12 eine auffällige Constructionsvermengung. Der Genitiv *ἐλευϑέϱας οὔσας* wie 1979, 14; 2006, 11. — Zur ganzen No. vgl. No. 1919.

Zeit. Priesterschaft III: April/Mai 178.

1919 *W.-F.* 254. *Ditt.* 450. C. v. B.

Ἄϱχοντος Λαιάδα μηνὸς Ἀπελλαίου, ἀπέσταν καὶ ἀπε|λύϑην Ἱεϱοκλῆς καὶ (Ἱ)εϱόκλεα Ἀγαϑαμεϱίδος τᾶς παϱαμο|νᾶς τᾶς παϱὰ Ἱεϱοκλῆ καὶ Ἱεϱόκλεαν τᾶς ἀναγεγϱαμ[μέ]|νας ἐν τῶ ἱεϱῶ, τᾶς ἔδει παϱαμεῖναι Ἀγαϑαμεϱίδα παϱὰ ‖ Ἱεϱοκλῆ καὶ Ἱεϱόκληαν ἄχϱι κα ζώωντι Ἱεϱοκλῆς καὶ Ἱε|ϱόκλεα, λαβόντες ἀϱγυϱίου ΜΜΜ. μάϱτυϱες· Ἀστόξενος, | Ἄϑαμβος Ἀϑανίωνος, Φίλων Ἀϱιστέα, Φίλαγϱος, Ἀντι|χάϱης, Ὀϱϑ[αγ]όϱας, Δαμάνϑης, Φιλοκϱάτης Ξένωνος.

Diese Nummer ist ein Nachtrag zu 1918. Auf dem Polygone steht sie unter 1920, rechts neben 1918. — *W.-F.* Z. 2 *καὶ Ἱεϱόκλεια* (vgl. 1918, 6). — 3 *τᾶς ἀναγεγϱαμμέ|νας ἐν τῶ ἱεϱῶ;* gemeint ist natürlich der Passus Z. 5 ff. von 1918. — 8 *Ὀϱϑαγόϱας*. — Im 1. Monat des delphischen Jahres 170/169 wird also *Ἀγαϑαμεϱίς* gegen Entrichtung von 3 Minen der *παϱαμονά* enthoben, die sie seit April/Mai 178 den Freilassern geleistet hatte. — Bemerkenswert ist die 3. pl. *ἀπελύϑην* (vgl. *διελέγην* kretisch Cauer [2] 123, 7); sonst lauten die Formen auf °*εν* aus, s. *διελέγεν* im Index. — Die 3 Schreibungen *Ἱεϱόκλεια* (1918, 2), *Ἱεϱόκληα* (1919, 5; vgl. *Ἡϱακλήου* 1685, 1; dann 1827, 1) und *Ἱεϱόκλεα* (1919, 2, 3, 6) sind beachtenswert.

Zeit. Priesterschaft IV: Juli/August 170.

1920 *W.-F.* 255. C. v. B.

Ἄϱχοντος Μαντία μηνὸς Ἰλαίου, ἀπέδοτ[ο] | Ἀϱίστα Σωτηϱίχου Δελφὶς τοῖ Ἀπόλλωνι τῶι Πυ|ϑίω σώματα γυναικεῖα

δύο αἷς ὀνόματα Ζώπυρ|ὶς καὶ Ἀρχεπολίς, τιμᾶς ἀργυρίου μνᾶν ὀκτώ, ‖ καθὼς ἐπίσστευσαν τῶι θειῶι τὰν ὠνάν. βε|βαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Μνάσων | Ξένωνος. παραμεινάτω δὲ Ζωπυρὶς καὶ Ἀρχε|πολὶς ἄχρι κα Ἀρίστα ζῆ ποιοῦσαι τὸ ποτιτα[σ]|σόμενον. ἐπεὶ δέ κα διαλίπη Ἀρίσστα, ἐλεύθερα‖ι ἔστωσαν κυριεύουσαι αὐταὶ ἑαυτᾶν, καθὼς | ἐπί[(σ)]τευσαν τὰν ὠνὰν τῶ θειῶι. βέβαιον δὲ π[αρε]|χέτω ἅ τε ἀποδομένα τῶ θειῶι καὶ ὁ βεβαιωτήρ· εἰ δέ | κα μὴ παρέχωντι, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον | τᾶς πόλιος. μάρτυρες· οἱ ἄρχ[ο]ντες Σωδαμίδας, ‖ Ξενέας καὶ προστάτας Ξενόστρατος καὶ ἰδιῶται | Ἀνδρόνεικος, Καλλικλῆς, Ἀμύντας, Ἱεροκλῆς, Σκόπας, | Ἀμφίστρατος, Βούλων.

W.-F. Z. 1 ἀπέδοτο. — 2 τõι Πυ|θίῳ. — 5 ἐπίστευσαν. — 8 ποτιτασ|σόμενον. — 9 Ἀρίστα, mit der Bemerkung auf S. 309: *Inscr.* ΑΡΙΣΣΤΑ. — 11 ἐπίστευσαν, u. S. 310 sagen sie: *Inscr.* ΕΠΙΕΤΕΥΣΑΝ. Sieht allerdings so aus. — 14 ἄρχοντες. — 15 Ξενόστρ[α]τος, mit der Bemerkung S. 310: *Inscr.* ΞΕΝΟΣΤΡΤΟΣ, aber Α steht über ΤΡ deutlich, war also nachgetragen worden. — Die Doppelschreibung eines Σ vor folgender Consonanz begegnet so oft, dass ich Z. 5 ἐπίσστευσαν und Z. 9 Ἀρίσστα nicht ändern wollte. Freilich ist der Steinmetz sehr inconsequent: die Dative der 2. Decl. stehen Z. 11 u. 12 so neben einander: τῶ θεῶι, Z. 5 aber τῶι θεῶι, und Z. 2/3 gar τοῖ Ἀπόλλωνι τῶι Πυθίω. — Z. 9 διαλίπη ohne βίον, also scheinbar *intr.*, wie ggr. τελευτᾶν. — Zu προστάτας vgl. 1950, 17, wo zwei nach, und 1996, 6, wo zwei vor den Archonten genannt sind.

Zeit. Priesterschaft III: Juni/Juli 179.

1921 *W.-F.* 256. C. v. B.

Ἄρχοντος ἐν Ἀμφίσσαι Εὐάρχου | τοῦ Σω[κρ]άτεος μηνὸς Ἀγρυστνεῶνος, | ἐν Δ[ελ]φοῖς δὲ ἄρχοντος Ἥρυος μηνὸς Βο[υ|κα]τ[ίου, ἀ]πέδοτο Εὐξίθεος Ἀμύντα Ἀμφισσεὺ[ς] ‖ τ[ῶι Ἀπ]όλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον [ἇι] | ὄνομα Διονυσία τὸ γένος ἐνδογενῆ, τιμᾶς ἀργ[υ]|ρίου μνᾶν ἑπτά, καὶ τὰν [τ]ιμὰν ἔχει. βεβαιωτὴρ κατ[ὰ] τὸ σύμβο|λον καὶ τοὺς νόμους τᾶς πόλιος τῶν Δελφῶν· Ἄθαμβος Ἀθανί|ωνος Δελφός. καθ[ώ]ς ἐπίστευσε Διονυσία τὰν ὠνὰν τῶι θεῶι, ‖ ἐφ' [(ὅ)]τω ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν | πάντα βίον. εἰ δέ τίς (κα) καταδουλίζηται Διονυσίαν, κύριος | ἔστω ὁ παρατυχὼν συλέων ὡς ἐλευθέραν οὖσαν ἀζά|μι[ο]ς ὢν καὶ ἀνυπόδικος πά[σα]ς δίκας καὶ ζαμίας. μάρτυ|ροι· οἱ ἱερεῖς Ἀ[μ]ύντας, Ἀνδρόνικος, ὁ νακόρος Μένης, Ἀριστέ‖ας, Νίκαρχος, Ἐκέφυλος, Ἵππων.

W.-F. Z. 2 *Σωκράτεος.* — 3 *ἐν δὲ Δελφοῖς.* Ihre Bemerkung auf S. 310: *Inscr.* ΕΝΔΕΔΕΛΦΟΙΣΔΕ beruht auf falscher Ergänzung der Lücke. — 3/4 *Βο[υ]|κατίου, ἀπέδοτο.* — 5 *τῶι Ἀπόλλωνι.* — 6/7 *ἀργυ|ρίου.* — 7 *τὰν τιμὰν ἔχει.* — 7 *κατὰ τὸ σύμβολον.* — 9 *καθὼς ἐπίστευσε.* — 10 *ἐφ' [ὅ]τω,* Stein ΩΤΩ. — 12/13 *ἀζά|μιος.* — 13 *πάσας δίκας.* — 14 *Ἀμύντας.* — In Z. 11 setze ich nach *τις* ein *κα* ein und vermute, dass das folgende Wort den Anlass zum Versehen gab. — Zur Form *Ἀγρυστνεών* (Z. 2) vgl. 1912, 1; 1757, 1; 1880, 1.

Zeit. Priesterschaft V (etwa 156—151).

1922 *W.-F.* 257. C. v. B.

Ἄρχοντος ἐν Ἀμφίσσαι Εὐάρχου τοῦ Σωκράτεος μηνὸ[ς] | Ἀμῶνος, ἐν Δελφοῖς δὲ ἄρχοντος Ἥρυος μηνὸς Ἰλαίου, ἐπὶ | τ[ο]ῖσδε ἀπέδοτο Μοσκίων Κλεαινέτου, Κλέων Ἀρίστωνος | Ἀμφισσεῖς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ‖ ὧι ὄ[νο]μα Δημήτριος τὸ γένος Φρύγα, τιμᾶς ἀργυρίου μνᾶν | πέντε, κ[α]ὶ τὰν τιμὰν ἔχοντι πᾶσαν, καθὼς ἐπίστευσε Δημή|τριος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύ(θε)ρος εἶμεν καὶ ἀνέφαπτος | ἀπὸ πάντων τὸμ πάντα βίον, ποιέων ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέ|λη. βεβαιωτῆρες κατὰ τὸν νόμον (καὶ) κατὰ τὸ σύνβολον· Ξένων Εὐαινέ‖του Ἀμφισσ[ε]ύς, Ἀντιχάρης Ἀζαράτου Δελφός. εἰ δέ τίς κα ἅπτηται Δημητρί|ου ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀποδόμενο[ι] καὶ οἱ βεβαιωτῆρες· εἰ δέ κα μὴ παρέχωντι, πράκτιμοι ἐόντων κατὰ τὸν ν[ό]μον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες | ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρ‖τυροι· Δαμύλος, Μελίτων, Ἀρίστων, Νικίας, Κλέανδρος, Ἀμύντας, Καλλίμαχος, Πλείσταρ|χος Ἀμφι[σ]σεῖς, Ἀντιχάρης Ἀζαράτου, Τιμόκριτος Δελφοί.

W.-F. Z. 1 *μηνὸς | Ἀμῶνος.* — 3 *τοῖσδε.* — 5 *ὄνομα.* — 6 *καὶ τὰν τιμάν.* — 7 *ἐλεύθερος,* und S. 310 die Bemerkung: *Inscr.* ΕΛΕΥΡΟΣ. — 9 *Βεβαιωτῆρες κατὰ τὸν νόμον [καὶ] κατὰ τὸ σύνβολον· Ξένων Εὐαινέ|του Ἀμφισσεύς.* Sie setzen S. 310 hinzu: le texte porte: *Βεβαιωτῆρες κατὰ τὸν νόμον Ξένων κατὰ τὸ σύνβολον Εὐαινέτου Ἀμφισσεύς.* Erreur évidente. Es ist also Umstellung des Namens nötig und Ergänzung von *καί* nach *νόμον.* — 11/12 *ἀ|ποδόμενοι.* — 13 *νόμον.* — 16 *Ἀμφισσεῖς.*

Da man doch wohl sicher im Namen *Μοσκίων* (Z. 3) den Stamm *μοσχο-* suchen darf, so ist °*σκ*° beachtenswert. Wir haben darin wohl keinen rein lautlichen Vorgang zu sehen, sondern vielleicht eine bewusste, scherzhafte Anlehnung des Stammes an das geläufige Suffix *-ισκο-ς* (vgl. *Βοΐσκος, Ταυρίσκος, Τραγίσκος, Λυκίσκος, Κυνίσκος, Λεοντίσκος*). Oder steht gar *Μοσκίων* mit syllabischer Aphäresis für *Μοσχ-ισκ-ίων*? — Die Form

Δημήτριος kommt bei dorischen Freilassern öfters vor (s. 1748; 1877, 9). — In Z. 8 u. 9 steht wirklich hinter einander: *τὸμ πάντα* und *σύνβολον*. — Es ist ungewöhnlich, dass der Bürge besonders unter den Privatzeugen aufgeführt wird. Vgl. jedoch 1764; 1908; 1913; 1923; 1954—1956.

Zeit. Priesterschaft V (etwa 156—151); vgl. 1921, 14.

1923 *W.-F.* 258. C. v. B.

Ἄρχοντος Ἥρυος τοῦ Πλείστωνος μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Μαντί|ας Κλευδάμου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Ἀρμένιος, τι|μᾶς ἀργυρίου μνᾶν δύο σταιήρων ἑπτά, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευ|σε Ἀρμένιος τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλεύθερος ε[ἶ]μεν καὶ ἀνέφαπτος ἀ|πὸ πάντων τὸν πάντα χρόνον, ποιέων ὅ κα θέλη καὶ ἀποτρέχων οἷς κα θέλη. | βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλ[ι]ο[ς]· Εὐκλείδας Καλλείδα. εἰ δέ τίς κα ἐφάπτη|ται Ἀρμενίου ἐπὶ καταδουλισμῶι, βέβαιον παρεχόντων τῶι θεῶι τὰν ὠνὰν | ὅ τε ἀποδόμενος Μαντίας καὶ ὁ βεβαιωτὴρ Εὐκλείδας. εἰ δὲ μὴ παρέχοιεν βέβαι|ον τὰν ὠνὰν τῶι θεῶι, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. ‖ ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες Ἀρμένιον ὡς ἐλεύθερον ἐόντα ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι | πάσας δίκας καὶ ζαμίας. μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπόλ|λωνος Ἀμύντας, Ἀνδρόνικος, ἰδιῶται Ἄθαμβος Ἀβρομάχου, | Φίλων Ἀριστέα, Εὐκλείδας, Ἀντιχάρης Ἀζαράτου καὶ τῶν ‖ ἀρχόντων Εὐκλῆς Καλλιστράτου.

W.-F. Z. 4 *εἶμεν*. — 6 *πόλιος*. — Die Inschrift ist recht gut erhalten, lädiert sind nur einige Zeichen in Z. 7, 10, 11 u. 13. — Der Bürge wird nochmals unter den Zeugen genannt, s. 1922.

Zeit. Priesterschaft V (etwa 156—151).

1924 *W.-F.* 259. C. v. B.

[Ἄρχοντος] Φιλοκράτεος τοῦ Ξένωνος μηνὸς Βοαθοίου, ἐπὶ τοῖσδε ἀπέδοτο | [Εἰρά]να Νικία τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖο[ν] ἇι ὄνομα Ὠφε[λίμ]|α, τ[ι]μ[ᾶ]ς ἀργυρίου μνᾶν [τ]ριῶν, καὶ τὰν τιμὰ[ν ἔ]χει πᾶσαν, καθὼς ἐπίστευ|σε Ὠφελίμα τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέ|φαπτον ἀπὸ π[ά]ντων τὸν πάντα βίον. βεβαιωτῆρες κατ[ὰ] | [τὸν νόμον Νικί]ας Κάλλωνος, Γενναῖος Ἡράκωνος. πα|[ραμεινάτω δ]ὲ Ὠφελίμ[α] παρὰ Ε[ἰ]ράναν ἄχρι κα ζώη Εἰράνα | [ποιέουσα τὸ] ποτιτασσόμ[ε]νον πᾶν τὸ δυνατόν· | [εἰ δέ τί κα μ]ὴ ποιήσαι Ὠφελίμα τῶν πο‖[τιτασσομέ]νων

ὑπὸ Εἰράνας καθὼς γέγραπται | [δυνατὰ] ἐοῦσα, κυρία ἔστω Εἰράνα κολάζουσα Ὠφελίμαν τρό[πωι ὧ]ι κα θέλη καὶ ἄλλος ὑπὲρ Εἰράν(αν) ὃν κα Εἰράνα κελεύῃ. εἰ δέ | [τί κα π]άθη Εἰράνα, ἐλευθέρα ἔστω Ὠφελίμα κυριεύουσα αὐτο[σαυ]τᾶς καὶ ἀποτρέχουσα οἷς κα θέλῃ καὶ ποιέουσα ὅ κα θέλῃ, κα‖[θ]ὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται Ὠφελί|μας ἐπὶ καταδουλισμῶι τελευτασάσας⟨ας⟩ Εἰράνας, βέβαιον παρεχόντων οἱ βεβαιωτῆρες τῶι θεῶι τὰν ὠνὰν κατὰ τὸν νόμον. | ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων συλέοντες | ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας ‖ καὶ ζαμίας. μάρτυροι· οἱ ἱερεῖ[ς] τοῦ Ἀπόλλωνος Ἀνδρόνικος, Ἀμύν|τας καὶ τοὶ ἄρχοντες Ἀλκῖνος, Λαιάδας, ἰδιῶται Ξένων Σωσιξέ|νου, Κάλλων Σατύρου, Τείσων Κλεάνδρου, Τιμοκλῆς Πολύωνος, | Ἡράκων Παρνασσίου, Πλείστων Πράξωνος.

Schon *W.-F.* fanden in dieser Nummer Lücken: sie geben Z. 1 [ἄρχον]τος. — 2 [Εἰράν]α. — 2/3 Ὠφε[λίμα], | [τιμᾶ]ς. — 3/4 ἐπίστευ[σε Ὠφ]ελίμα. Ich fand in Z. 1 noch τος weggebrochen. Z. 2 sah ich noch ν, also [Εἰρά]να. Beim Uebergange von Z. 2/3 gaben sie, wie sich aus dem von mir erkannten Texte oben ergiebt, das Ende von Z. 2 falsch an. Den Anfang von Z. 4 fand ich deutlich bis auf das ε in Ὠφελίμα. — Im Innern der Zeilen 1/4 sahen *W.-F.* Z. 2 γυναικεῖον. — 3 τριῶν, dann τιμὰν ἔχει. — In Z. 5 geben sie πάντων, am Ende κατὰ|. — Von Z. 6—15 ist jetzt der Anfang so weggebrochen, wie es oben durch Klammern angegeben wird. *W.-F.* geben Alles intakt. — Im Innern der Zeilen 6—15 haben *W.-F.* Z. 7 Ὠφελίμα παρὰ Εἰράναν. — 8 ποτιτασσόμενον. — 12 Εἰράν[αν] ὅν, und S. 310 merken sie dazu an: *Inscr.* EIPAN. Le graveur a oublié de répéter les deux dernières lettres. — Z. 16 beging der Steinmetz den umgekehrten Fehler; *W.-F.* ohne Notiz darüber. — *W.-F.* Z. 20 ἱερεῖς. — Z. 9 κὰ neben ποιῆσαι; vgl. 1823, 12; 1830, 10/11.

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1891.

1925 *W.-F.* 260. C. v. B.

Ἄρχοντος Φιλοκράτεος τοῦ Ξένωνος μηνὸς Ἐνδυσποιτροπίου, ἀπέδοτο Κλύ|τα τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνομα Ἀθηναῒς τὸ γένος Μακέταν, | τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Ἀθηναῒς τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε | ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα χρόνον, ποιέουσα ὅ κα θέλῃ κα[ὶ] ‖ ἀποτρέχουσα οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Νικόμαχος Δεξίπ|που. εἰ δέ τις ἅπτοιτο ἐπὶ καταδουλισμῶι Ἀθηναΐδος, βέβαιον παρεχέτω τὰν ὠνὰν τῶι | θεῶι ἅ τε ἀποδομένα Κλύτα καὶ

ὁ βεβαιωτὴρ Νικόμαχος· εἰ δὲ μὴ παρέχοιν βέβαιον τὰν | ὠνὰν τῶι θεῶι, πράκτιμοι ἐόντων κατὰ τὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρα|τυγχάνοντες κύριοι ἐόντων συλέοντες Ἀθηναΐδα ὡς ἐλευθέραν ἐοῦσαν ἀζάμιοι ἐ||όντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. παραμεινάτω δὲ Ἀθηναΐς παρὰ Κλύ|ταν ἄχρι οὗ κα ζώη Κλύτα⟨ν⟩ ποιέουσα τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατόν· εἰ δὲ μὴ | ποιέοι τὸ ποτιτασσόμενον, κυρία ἔστω Κλύτα κολάζουσα τρόπω ὧ κα αὐτὰ θέλη. μάρτυροι· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ἀνδρόνικος καὶ οἱ ἄρχον|τες Ἀστόξενος Διονυσίου, Ἀριστίων Ἄγωνος καὶ ἰδιῶται Πολύων || Τιμοκλέος, Ἰατάδας.

W.-F. Z. 4 *καὶ*|. — 11 *Κλύτα*, u. S. 310 merken sie an: L'inscription porte ici *Κλύταν* au lieu de *Κλύτα*. Mit dem Accusativ ist allerdings nichts zu machen. Möglich ist, dass der Steinmetz auf seiner Vorlage das 4 Worte vorher stehende *Κλύταν* wiedersah; möglich auch, dass seine Vorlage *Κλύται* hatte und dass er diese verlas, *Κλύται*, den Dativ also, vgl. 1882, 15. Es ist demnach *Κλύτα⟨ν⟩* oder *Κλύτα[(ι)]* zu schreiben. — Die Form *Μακέταν* steht auch 1872, 3. — Der Genitiv *Ἀθηναΐδος* (Z. 6) nur hat ein Jota, Z. 2, 3, 9, 10 steht *°ναιΐς*. — Der Steinmetz setzte Jota adscriptum 13mal, liess es aber weg Z. 5 *θέλη*, Z. 11 *ζώη* und 12 *τρόπω, ὧ*, also 4mal.

Zeit. Priesterschaft V (etwa 156—151). S. No. 1891.

1926 *W.-F.* 261. C. v. B.

Ἄρχοντος Δεξώνδα μηνὸς Βοαθόου, ἐπὶ τοῖσδε ἀπέδοτο Κλεόδικο[ς Δωροθέου, συνευδοκεόν]|των καὶ τῶν υἱῶν τῶν Κλεοδίκου Δωροθέου καὶ Γλαυκία, [σῶμα ἀνδρεῖον ὧι ὄνομα Εὔνους] | τὸ γένος Θρᾷκα, τιμᾶς ἀργυρίου μνᾶν δέκα, καὶ τὰν [τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε] | Εὔνους τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθ[ερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ] || πάντα βίον, ποιέων ὅ κα θέληι καὶ ἀποτρ[έχων οις κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νόμον· Ἡρακλεί]|δας Καλλία. εἰ δέ τις ἐφάπτο[ιτο Εὐνόου ἐπὶ καταδουλισμῶι, βέβαιον [παρεχ]όντω οἵ τε ἀποδό]|μενοι καὶ ὁ βεβαι[ωτήρ· εἰ δὲ μὴ παρέχοιν βέβαιον τῶι θεῶι [τὰν ὠνάν], πράκτιμοι ἐόντων] | κατὰ τ[ὸν νόμον τᾶς πόλιος. ὁμοίως δὲ καὶ οἱ παρατυγχάν[οντες κύ]ριοι ἐόντων συλέ]|οντ[ες ὡς ἐλεύθερον ὄντα καὶ ἀνέφαπτον ἀπὸ πά[ντων ἀζ]άμιοι [ὄν]τες καὶ ἀ]||[νυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· [οἱ ἱερεῖς το]ῦ Ἀπόλλωνος Πρα]|[[ξίας, Ἀν]δρόνικος, [Ἐμμε]νίδας τῶν ἀρχόντων, Μένης, [Πεισί]θεος [Ξέ]νωνος], | [. . . . . δας Ἀλ[έξων]ος, Εὐκλείδας, Δάμαρχος].

Diese Inschrift ist sehr zerstört. Von Z. 10—12 sah ich gar nichts. Ich gebe sie nach *W.-F.* in Klammern und lasse innerhalb derselben die Klammern, die schon *W.-F.* wegen der Lücken setzen mussten. So hielt ich's auch in den Z. 6—9, von denen ich nur die Anfänge noch fand. Von Z. 1—9 werden die erhaltenen Anfänge immer kleiner, weil rechts von Z. 1 ab ein Bruch anhebt, der mit den Zeilen nach links zu immermehr zunimmt und schliesslich bei Z. 10 den Anfang mit wegriss. Zu Anfang von Z. 7 notierte ich mir: „Vor *μενοι* möglich [. .]". Es lässt sich bei dem jetzigen Zustande nicht mehr ausmachen, ob Z. 6 mit *ἀπο*| schloss u. Z. 7 |[*δό*]*μενοι* zu schreiben ist. — Z. 11 geben *W.-F.* die beiden Priesternamen, dann Komma, hierauf [*Ἐμμε*]*νίδας· τῶν ἀρχόντων Μένης, κτλ.* Aus 1927, 7, wo die Behörde des ersten Semesters angegeben ist, geht wohl hervor, dass [*Ἐμμε*]*νίδας* (sc. *Καλλία*) *τῶν ἀρχόντων* zusammengehört und dass mit dem *νακόρος Μένης* die Reihe der Privatzeugen beginnt. Aus demselben Jahre ist ein *Ἐμμενίδας Δεξικράτεος* noch als Privatzeuge bekannt (2022, 9); dieser kann um *τῶν ἀρχόντων* willen, was auf *Μένης* nicht passt, nicht gemeint sein.

Zeit. Priesterschaft VI (etwa 150—140).

1927 *W.-F.* 262. C. v. B.

Ἄρχοντος ἐν Δελφ[οῖς Δε]ξώνδα τοῦ Δάμωνος μηνὸς Ἀ[πελλαίου], [ἐν δὲ] Χαλείωι | [ἄρχον]τος Λαχ[άρεος τοῦ] Σκύθα καὶ μηνὸς Ἀπελλαίου, ἐπὶ τοῖσδε ἀπέδοντο | [Δαμ]όνικος Δαμο[νίκου], Ἀγησίπολις Δωροθέου Χαλῆεῖς σῶμα γυναικεῖον τῶι θεῶι | ἇι ὄνομα Ἀριστονίκα τὸ γένος ἐνδογενῆ, τιμᾶς ἀργυρίου μνᾶν ὀκτώ, καθὼς ἐπίστευ‖σε Ἀριστονίκα τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὅτω ἐλευθέρα ἔσται καὶ ἀνέφαπτος τὸν πάντα χρό|νον. βεβαιωτὴρ κατὰ τὸ σύμβολον· Ξένων Βούλωνος Δελφός. μάρτυρες· οἱ ἄρχοντες | τᾶς πόλιος τῶν Δελφῶν Ἐμμενίδας Καλλία, Ἀλκῖνος Ἀρχιάδα, Πράοχος Ἀρ|χελάου Δελφοὶ καὶ οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος Πραξίας, Ἀνδρόνικος, ἰδιῶται Θρασυ|κλῆς Πραξία, Εὐαγόρας, Μένης ὁ νεωκόρος, Ξενόκριτος Στ[η]σιμένεος, Εὐκλεί‖δας Κάλλωνος Δελφοί.

Diese Inschrift ist fast ganz weggebrochen. Ich fand nur noch Z. 5 *ἀνέφαπ*]*τος τὸν* [*πάντ*]*α χρό*|[*νον*]. — 6 *μάρτυρε*]*ς· οἱ ἄρχοντες*|. — 7 *Ἀρχιά*]*δα*, *Πράοχος Ἀρ*|[*χελάου*]. — 8 *Ἀνδρόνι*]*κος*, *ἰδιῶται Θρασυ*|[*κλῆς*]. — 9 *Στη*]*σιμένεος, Εὐκλεί*|[*δας*]. Daraus ergeben sich zwei kleine Abweichungen von *W.-F.*, nämlich Z. 7 geben sie *Ἀρχιά*[*δ*]*α*, Z. 9 *Στ*[*ησ*]*ιμένεος*. Diese beiden Aenderungen sowie die Schraffierung von *τόν* sind das einzige, was ich zur Richtigstellung des Textes beisteuern konnte. Wie gesagt, ist alles Andere weggebrochen. Sonst ist der oben gegebene Text ganz mit *W.-F.* übereinstimmend. An den vielen Klammerzeichen sieht man, dass schon *W.-F.* die Inschrift sehr zerstört fanden. In Z. 1 schreiben sie *μηνὸς*

Ἀ[.....]. Wer aber 1926, 11 u. 1927, 7 vergleicht, sieht, dass beide Inschriften aus dem 1. Semester von des *Δεξώνδας* Archontate sind. Nur ein Monat fängt in diesem mit *A* an. Das ist der *Ἀπελλαῖος*, also kann über die Ergänzung kein Zweifel sein. Daraus folgt, dass der Monat, der in Delphi *Ἀπελλαῖος* hiess, auch (Z. 2) in *Χάλειον* diesen Namen führte, während die andre lokrische Stadt *Οἰάνθεια* nach 1908, 5/6 die delphische Zeitangabe *μηνὸς Ποιτροπίου τοῦ πρώτου* mit *μηνὸς Ἀπελλαίου* identificiert. — Den Wechsel in der Schreibung Z. 1 *Χαλείωι* u. Z. 3 *Χαληεῖς* (1908, 13) braucht man nicht zu bezweifeln, vgl. *Ἱερόκλῃα* und *Ἱερόκλεια* in 1918 und 1919. Inconsequent war ja der Steinmetz auch Z. 4 mit dem Jota adscriptum. — Zu Z. 3. Oder ob *Ἀγησιπολίς*? Ob Eheleute?

Zeit. Priesterschaft VI (etwa 150—140).

1928 *W.-F.* 263. C. v. B.

[Ἄρχοντος Δεξώνδα τοῦ Δάμωνος, βουλευόντων τὰν δε]υτέραν ἑξάμηνον Ἁγί||[ωνος τοῦ Ἐχεφύλου, Γενναίου τοῦ Ἡράκωνος, γραμμ]ατεύοντος Σωστράτου τοῦ | Σωτύλου καὶ μ[ηνὸς Βυσίου, ἀπέδοτο Βάκχιος Πάτ]ρωνος, συνευδοκέοντος καὶ | τοῦ υἱοῦ Ἁγίω[νος, Χαρίξενος Ἀλέξων]ος, συνευδοκεόντων καὶ τῶν υἱ||ῶν Ἀλέξωνος, Πολε[μάρχου, τ]ῶι Ἀπ[όλλων]ι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄ|νομα Ἄμμιλα, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων στατήρων δεκαδύο, καὶ τὰν | τιμὰν ἔχει. βεβαιωτὴρ κατὰ τ[οὺ]ς νόμους τᾶς πόλιος· Ἀστόξενος Διονυσί|ου. καὶ ἀπ[οτρεχ]έτ[ω] ἔχουσα Ἄμμιλα [ἅ] κα κατασκεώσηται παρὰ Χαρίξενον. | μάρτυ[ρ]οι· τ[ο]ὶ ἱερεῖς τοῦ Ἀπόλλω[νο]ς Πραξίας, Ἀνδρόνικος καὶ τῶν ἀρ||[χόντων Γενν]αῖος, Σώστρατος, ἰδιῶται Ξεναγόρας, Τιμόκριτος, Σωσί|νικος, Ἄθαμβ[ος] Ἁβρομάχου.

Der Anfang dieser Nummer ist jetzt sehr zerstört. — *W.-F.* Z. 1 u. 2 voll. — 3 *μ[ηνὸ]ς Βυσίου, ἀπέδοτο Βάκχιος [Πάτ]ρωνος.* — 4 *Ἁγίω[νος], Χαρίξενος Ἀλέ[ξ]ω[ν]ος.* — 5—9 ohne jede Lücke. — 10 Anfang ||*[χόντ]ων*. — 11 *Ἄθαμβος*. Aus den Lücken wie in Z. 3 u. 4 ersieht man, dass Stücke, die einst zwischen 2 Lücken stehen geblieben waren, nunmehr auch noch ausgebrochen sind. — Der Name *Ἄμμ-ιλα* gehört zu solchen wie *Ἀμμίας* 1448a, 11, *Ἀμμία* CJ. 1211b, 10 (Hermione). — Mit *κατασκεώσηται* vgl. *κατα[σ]κ[ε]υώσωνται* 1874, 26 u. 28.

Zeit. Priesterschaft VI (etwa 150—140).

1929 *W.-F.* 264. C. v. B.

Ἄρχοντο[ς Πρα]ξία μηνὸς ....., [ἀπέδοντ]|ο Ἀρχέλας [Θ]ηβαγόρα, Κράτων .... [τῶ]|ι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυ[ναικεῖον] | ἇι ὄνομα Ἀντιγόνα, τιμᾶς ἀργ[υρίου μν]||ᾶν δέκα, καθὼς ἐπίστευσε τῶι θ[εῶι τὰ]ν ὠ|νὰν Ἀντιγόνα, ἐφ' ὧι αὐτὰν ἐλευθέρ[αν] εἶμεν | καὶ ἀνέφαπτον τὸν πάντα χρόνον,

ποιέουσα[ν] | ἅ κα θέλῃ. βεβαιωτήρ· Πραξίας Εὐδόκου. | μάρτυρες· οἱ ἱερεῖς Ἄθαμβος, Ἀμύντας καὶ οἱ ἄρ||χον⟨. .⟩τες Καλλίας, Βάκχιος, Δαμένης· Διόδω|ρος, Ταραντῖνος.

Diese Inschrift ist tadellos erhalten und von *W.-F.* genau wiedergegeben. — Ist der Bürge *Πεισίλαος Νικοδάμου* der Archont?

Zeit. Priesterschaft II: März/April 183.

1962 *W.-F.* 297. C. v. B.

Ἄρχοντος Δαμοσ[θένεος μηνὸς Δαιδαφο]ρίου, ἐπὶ τοῖσδε | ἀπέδοτο Ἀρίσ[τιον Ἀρχεδάμου Χαλεῖς τῶι Ἀ]πόλλωνι | τῶι Πυθίωι σώμ[ατα δύο γυναικεῖα αἷς ὀν]όματα Παρμονὶς | καὶ Δόξα καὶ ἀν[δρεῖον ἓν ὧι ὄνομα Περδί]κκας, τιμᾶς ἀργυ||ρίου μνᾶν ἐννέ[α, καθὼς ἐπίστευσαν Π]αρμονὶς καὶ Δόξα | καὶ Περδίκκας τῶι θε[ῶι τὰν ὠνάν, ἐφ'] ὧιτε ἐλευθέρους | εἶμεν καὶ ἀνεφάπτου[ς] ἀ[πὸ πάντων τ]ὸμ πάντα βίον, ποι|έοντες ὅ κα θέλωντι καὶ ἀπο[τρέ]χοντες οἷς κα θέλωντι. | [β]εβα[ι]ωτὴρ κατὰ τὸν νόμον· [Τα]ραντῖνος Ἄρχωνος Δελφός. || εἰ δ[έ] τίς

κα ἀπ[τ]ηται Παρμονίδος ἢ Δόξας ἢ Περδίκκα, βέβαιον | παρεχ[ό]ντω τῶι θ[ε]ῶι τὰν ὠνὰν ἅ τε ἀποδομένα Ἀρίστιον καὶ ὁ βεβαι|ωτὴρ Ταραντῖν[ο]ς· εἰ δέ κα μὴ παρέχωντι, πράκτιμοι ἐόντων κατὰ | τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντων | συλέοντες ὡς ἐλευθέρους ὄντας ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι || πάσας δίκας καὶ ζαμίας. μάρτυρες· τῶν ἀρχόντων Κλεόδαμος, | Μαντίας, ἰδιῶται Ἀνδρόνικος Πατρέα, Δεξικράτης Μνασιθέου, | Εὐκλείδας Καλλε[ί]δα.

Das obere Stück der Inschrift hat sehr gelitten. *W.-F.* Z. 1 Δαμοσ[θέ]νεος. — 2 Ἀρίστ[ιον Ἀ]ρχεδάμου. — 3 σ[ώματα] δύο γυναικεῖα αἷς [ὀ]νόματα. — 4 ἀνδ[ρεῖ]ον ἓν ὧι ὄνομα Πε[ρδί]κκας. — 5 ἐννέ[α, κ]αθὼ[ς] ἐπίστευσα[ν Π]αρμονίς. — 6 θε[ῶι] τὰν ὠνάν, [ἐφ'] ὧιτε. — 7 ἀνεφάπτου[ς] ἀπὸ πάν[των τ]όμ. — 8 ἀποτρέχοντες. — 9 βεβαιωτήρ, dann Ταραντῖνος. — 10 εἰ δέ τίς κα ἅπτηται. — 11 παρεχόντω τῶι θεῶι. — 12 Ταραντῖνος. — 17 Καλλείδα. Die Klammern zeigen, dass schon zur Zeit, da *W.-F.* die Abschrift nahmen, in den Z. 3—7 je 2 kleine Lücken waren. Das zwischen ihnen stehende Stück ist jetzt auch herausgebrochen. Dabei sind in Z. 1 und 2 bedeutende Verluste entstanden, in Z. 8—12 kleinere.

Zeit. Priesterschaft II: November/December 182.

1963 *W.-F.* 298. C. v. B.

Ἄρχοντος Δαμοσθένεος μηνὸς Δαιδαφορίου, ἐπὶ τοῖσδε | ἀπέδοτο Διόδωρος Μνασιθέου Δελφὸς τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Λύκα, τιμᾶς ἀργυ|ρίου μνᾶν τεσσάρων ἡμιμναίου, καθὼς ἐπίστευσε || Λύκα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν | καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιέουσα | ὅ κα θέλῃ. βεβαιωτὴρ κατὸν νόμον· Χαρίξενος Ἀμυνέα | Δελφός. μάρτυρες· τοὶ ἄρχοντες Κλεύδαμος, Πεισίλα|ος, ἰδ[ι]ῶται Ἀνδρόνικος Πατρέα, Εὐκλείδας Καλλείδα, || Κρά[τ]ων Φριχίδα, Φιλίσκος.

W.-F. Z. 9 ἰδιῶται. — 10 Κράτων. — Verletzt ist nur das ν in γυναικ° Z. 3. — Z. 7 geben *W.-F.*: κα[τὰ] τὸν νόμον, merken aber S. 310 an: *Inscr.* KA pour κατά.

Zeit. Priesterschaft II: November/December 182.

1964 *W.-F.* 299. C. v. B.

[Ἄρχο]ντ[ο]ς Ἀνδρονίκου μηνὸς Ἐνδυσποιτροπίου, ἐπὶ τοῖσ|[δε ἀ]πέδοτο Νίκων Τίμωνος Δελφὸς τῶι Ἀπόλλωνι τῶι | [Πυθί]ωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Μάρσις, τιμᾶς ἀργυρίου μνᾶν | [τριῶ]ν, καθὼς ἐπίστευσε Μάρσις τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε || [ἐλε]ύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν

πάντα | [βίον, π]οιέων ὅ κα θέληι καὶ ἀποτρέχων οἷς κα θέληι. βε|[βαι]ωτὴρ κατὰ τὸν νόμον· Κράτων Νικοδάμου Δελφός. | [μ]άρτυρες· τοὶ ἱερεῖς Ξένων, Ἄθαμβος καὶ τοὶ ἄρχοντες | [Δ]αμένης, Κράτων, ἰδιῶται Ἀρχέλαος, Δίων, Θεύξενος, ‖ Κλεύδαμος Πολυκλείτου.

Die Anfänge der Z. 1—9 sind verletzt. Dass es der von Z. 10 nicht ist, kommt daher, dass die beiden Namen unter die Mitte von Z. 9 gegesetzt sind. *W.-F.* Z. 1 *ἄρχοντος.* — 1/2 *τοῖσ|[δ]ε ἀπέδοτο.* — 3 *[Πυ]θίωι.* — 4 *τριῶν.* — 5 *ἐλεύθερος.* — 6 *βίον ποιέων.* — 6/7 *βε|βαιωτήρ.* — 8 *μάρτυρες.* — 9 *Δαμένης.* — Sind Bürge und Archont identisch?

Zeit. Priesterschaft II: April/Mai 180.

1965 *W.-F.* 300. C. v. B.

[Ἄ]ρχοντος Ξένωνος μηνὸς Βουκατίου, ἐπὶ τοῖσδε ἀπέ|δοτο Ἀγήσιον Ξενοδόκου Ἀνφισσὶς τοῖ Ἀπόλλωνι τοῖ Π|υθίοι σῶμα ἀνδρεῖον οἶ ὄνομα Λυδός, ἀργυρίου μνᾶν | τεσ(σ)άρων, καθὼς ἐπίστευσε Λυδὸς τοῖ θεοῖ τὰ‖ν ὠνάν, ἐφ' οἶτε αὐτὸν ἐλεύθερον εἶμεν καὶ ἀνέφαπ|τον ἀπὸ πέντων τὸν πάντα βίον, ποέοντα ὅ κα θέλη. | παραμενέτω δὲ Λυδὸς παρ' Ἀγήσιον ἄχρι κα ἄνδρα [(λ)]|άβηι Ἀγήσιον, ποιῶν τὸ δέον. βεβαιωτὴρ κατὸν νόμο|ν· Σωκράτης Εὐάρχου Ἀμφισσεύς. μάρτυροι· ὁ ἱαρεὺς Ἄ|θανβος, ὁ ἄρχων Ξενόστρατος· Ἄνδρων, Ἀρχέλαος Πολυ|[κράτ]εος, Φίλων Ἀνφισσεῖς.

W.-F. Z. 1 *ἄρχοντος.* — 4 *τεσ[σ]άρων,* dazu auf S. 310: *Inscr.* ΤΕΣΑΡΩΝ. Vgl. 1761, 5; 1815, 5; 1969, 7. — Z. 5 schlug der Steinmetz ΕΛΥΘ ein und trug Ε über *λυ* nach. — Z. 7/8 steht Δ|Α°, *W.-F.* *λ|άβηι.* — 8 *κα[τὰ] τόν,* Stein ΚΑΤΟΝ. — Die Dative der *o*-Flexion gehen consequent siebenmal auf *-οι* aus, dagegen ist der Steinmetz inconsequent, wenn er Z. 6 *θέλη* und Z. 7/8 *λάβηι,* Z. 6 *ποέοντα* und Z. 8 *ποιῶν,* Z. 2 *Ἀνφισσίς,* 11 *Ἀνφισσεῖς,* 9/10 *Ἄθανβος,* aber Z. 9 *Ἀμφισσεύς,* 6 *τὸν πάντα* einschlägt; vgl. 1970.

Zeit. Priesterschaft II: August/September 189.

1966 *W.-F.* 301. C. v. B.

[Ἄρ]χοντος Ἀρισταινέτου μηνὸς Δαιδαφορίου, ἐπὶ τοῖσ|[δε ἀ]πέδοντο Δικαία Ἀπολλοδώρου, Αἰτωλά, Ἀγησαρέτα | [Γεν]ναίου Δελφίδες τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖ|[ον ὧ]ι ὄνομα Δαμώ, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς (ἐ)πίστευ[σε] Δαμὼ τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέ|[φ]απτος ἀπὸ πάντων τὸν πάντα βίον, ποέουσα ὅ κα θέληι | καὶ ἀποτρέχουσα οἷς κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νόμον· | [Γ]ενναῖος Θαρσύα Δελφός. μάρτυρες· τοὶ ἱερεῖς τοῦ

᾿Απόλλω||[ν]ος Ξένων, Ἄθαμβος καὶ τοὶ ἄρχοντες ᾿Αμύντας, ᾿Αρχέλαος, || [Πρ]άξων, ἰδιῶται ᾿Αρχιάδας, Δαμοχάρης, Σωτύλος, | [. . . . (.)]κράτης.

W.-F. Z. 1 ἄρχοντος. — 4/5 καθὼς ἐπίστευ|σε, Stein °ΩΣΠΙ°. — 5/6 ἀνέ|φαπτος. — 8/9 ᾿Απόλλω|νος. — Schon *W.-F.* beobachteten, dass die Anfänge von Z. 2—4, 8, 10 und 11 weggebrochen waren. Das hat sich jetzt auch auf Z. 1, 5, 6 und 9 ausgedehnt.

Zeit. Priesterschaft II: November/December 183.

1967 *W.-F.* 302. C. v. B.

[Ἄρχο]ντος Εὐδώρου μηνὸς | [Ποιτρ]οπίου, ἀπέδοτο Φίλων | [᾿Αρισ]τέα τῶι ᾿Απόλλωνι | [τῶι Π]υθίωι σῶμα ὧι ὄνομα || [Ζωπυ]ρίων, τιμᾶς μνᾶν δύο, | [καὶ τὰ]ν τιμὰν ἔχει. βεβαιωτὴρ | [κατ]ὰ τοὺς νόμους τᾶς πόλι|[ος]· Εὐάγγελος Πάτρωνος. πα|ραμεινάτω δὲ Ζωπυρίων || παρὰ Φίλωνα ἕως κα βι|ώηι Φίλων. μάρτυροι· | ὁ ἱερεὺς Πραξίας, | ᾿Ανδρόνικος, | τῶν ἀρχόντων || Καλλίμαχος· Μένης, | Φίλαγρος, Πεισίθε|ος Ξένωνος, Βούλων.

W.-F. Z. 1 ἄρχοντος. — 7 [κατὰ τ]οὺς νόμους. — 7/8 πόλι|[ος· Ε]ὐάγγελος. — Z. 12 steht ὁ ἱερεύς, und es folgen 2 Namen, ähnlich βεβαιωτήρ mit 2 Namen in 1743, 4/5; 1991, 7; 1918, 5.

Zeit. Priesterschaft VI (etwa 150—140).

1968 *W.-F.* 303. C. v. B.

Ἄρχοντος ᾿Αρισταινέτου μηνὸς Θεοξενίου, ἐπὶ τοῖσδε ἀπέ|δοτο Κλεώνυμος ᾿Εχεδάμου ᾿Εριναῖος τῶι ᾿Απόλλωνι τῶι | Πυθίωι σῶμα γυναικεῖον ὧι ὄνομα ῾Ρόδιον οἰκογενῆ, τιμᾶς | ἀργυρίου μνᾶν δύο· βεβαιωτὴρ κατὰ τὸν νόμον· Μικκύλος Νικο||κράτεος ᾿Εριναῖος· ἐφ᾿ ὧιτε ἐλευθέραν εἶμεν ῾Ρόδιον, καθὼς ἐπί|στευσε τῶι θεῶι τὰν ὠνάν. παραμεινάτω δὲ ῾Ρόδιον παρὰ Κλεώνυ|μον ἄχρι κα ζώηι Κλεώνυμος· εἰ δέ κα μὴ παραμείνη ῾Ρόδιον, κύριος | ἔστω Κλεώνυμος ἐπιτιμέων τρόπωι ὧι κα θέληι. μάρτυρες· | τοὶ ἱερεῖς Ξένων, Ἄθαμβος καὶ τοὶ ἄρχοντες Εὐκράτης, Κλέων, ἰδιῶται || Εὐκλείδας, Δαμοχάρης, Καλλίκων, Δίων, ᾿Αρχέλαος.

Diese Inschrift ist bis auf das letzte Zeichen von Z. 9, welches lädiert ist, tadellos erhalten und von *W.-F.* richtig wiedergegeben.

Zeit. Priesterschaft II: März/April 182.

1969 *W.-F.* 304. C. v. B.

Στραταγέοντος Δαμοκρίτου Καλυδω|νίου τὸ δεύτερον μηνὸς

Δείου, ἐν [Δ]ελ|φοῖς δὲ ἄρχοντος Ἐχεφύλου μηνὸς | Ποιτροπίου, ἀπέδοτο Σωτίων Σιμ||άκου Δαυλιεὺς τοῖ Ἀπόλ(λ)ωνι τῶι Πυ|θίωι σῶμα γυναικέον ἇι ὄνομα Ἀρίστεια, | τιμᾶς ἀργυρίου μνᾶν τεσ(σ)άρων, καθὼς | αὐτὰ ἐπίστευσε Ἀρίστεια τὰν ὠνὰν τῶι Ἀπ|όλλωνι. παραμινάτω δὲ Ἀρίστεια παρὰ Σωτίω||να ἄχρι κα ζῆ Σωτίων ποιοῦσα [(τ)]ὸ ποτιτασ(σ)όμε|νον τὸ δυνατόν. εἰ δέ κα μ[(ὴ)] πειθαρχῆ Ἀρίστεια, | ἐξουσία ἔστω Σωτίωνι ἐπιτιμῆν ⟨ΤΙ⟩ (τρόποι οἷ κα θέλη). βεβαιωτῆ|ρες κατὰ τὸν νόμον· Μνάσων, Ἀγέστρατος, Δαμόνι|κος Δαυλιεῖς. βέβαιον δὲ παρεχόντω οἱ βεβαιωτῆ||ρες τὰν ὠνὰν τοῖ Ἀπόλ(λ)ωνι. ἐπεὶ δέ κα Σωτίων | τι πάθη, ἐλευθέρα ἔστω Ἀρίστεια. εἰ δέ τίς κα ἐ|φάπτηται Ἀριστείας, ἐξουσίαν ἐχέτω ὁ παρα|τυχὼν συλέων ὡς ἐλευθέραν οὖσαν ἀζάμ[ι]|ος καὶ ἀνυπόδ[ι]κος ἐὼν πάσας δίκας. μάρτυροι· || οἱ (ἱ)ερ(ε)ῖς τοῦ Ἀπόλ(λ)ωνος Ξένων, Ἄθαμβος· Δίων, | Χαρίξενος, Ἀρχέλας, Εὐάγγελος Δελφοί, Αἰσχρί|ων, Πύστακος, Ἀγέλαος, Εὔξενος, Σωσύλος, | Ἱπποκλῆς Δαυλιεῖς καὶ οἱ ἄρχοντες Δελφῶν | Φιλαίτωλος, Ξένων, Ἀστύοχος.

W.-F. Z. 2 ἐν Δελ|φοῖς. — 5 Ἀπόλλωνι, der Stein hat Z. 5, 15 u. 20 einfache Consonanz (s. 1761,4), nur 8/9 Ἀπόλλωνι. Die Gemination ist gleichfalls unterlassen in τεσ(σ)άρων Z. 7 (vgl. 1965, 4) und ποτιτασ(σ)όμενον Z. 10. — 6 γυναικεῖον, mit der Bemerkung auf S. 310: *Inscr.* ΓΥΝΑΙΚΕΟΝ; vgl. ἀνδρέον 1729, 5; 1758, 3. — 7 τεσ[σ]άρων. — 9 παραμ[ε]ινάτω, vgl. (ἱ)ερῖς Z. 20. — 10 ποιοῦσα τὸ ποτιτασ[σ]όμενον, Stein ΠΟΙΟΥΣΑΝΟ, und es scheint, als ob der Steinmetz in dem falschen ν habe corrigieren, es zum τ habe umändern wollen. Auf S. 310 merken sie an: *Inscr.* ΠΟΤΙΤΑΣΣΟΜΕ°, was falsch; denn °ΤΑΣΟ° steht auf dem Steine. — 11 μ[ή], Stein ΜΕ, wie *W.-F.* auch S. 310 verzeichnen. — 12 ἐπιτιμῆν [τρόποι οἷ κα θέλη]. Über die Überlieferung klärt die Anmerkung auf S. 310 auf: On lit ici dans l'original ΕΠΙΤΙΜΗΝΤΙ (dann βεβαιωτῆρες). A la fin de l'inscription, ligne 24, se trouvent les mots ΤΡΟΠΟΙΟΙΚΑΘΕΛΗ. Il faut les considérer comme un renvoi à la ligne 12; ΤΙ n'est que le commencement de ΤΡΟΠΟΙ. La phrase était restée inachevée par la négligence du graveur; er hörte mitten im ϱ auf. — 18/19 ἀζάμι|ος. — 19 ἀνυπόδικος. — 20 ο[ἱ] ἱερ[ε]ῖς, Stein ΟΙΕΡΙΣ, wie auch *W.-F.* S. 311 notieren. Entweder οἱ (ἱ)ερ(ε)ῖς oder οἱ (ἱ)ερῖς (vgl. παραμινάτω Z. 9). — 21/22 Αἴσχρ|ων st. Αἰσχρί|ων. — Auch in dieser Nummer (vgl. 1965, 1970) ist der Steinmetz sehr inconsequent: Neben τοῖ (Z. 5, 15), τρόποι οἷ (Z. 24) steht τῶι (Z. 5, 8) Πυθίωι (Z. 5); wegen der Gemination in Ἀπόλλωνι vgl. zu Z. 5; es findet sich itacistische Schreibung (Z. 9 und 20) neben diphthongischer; neben Εὐάγγελος (Z. 21) steht Ἄθαμβος (Z. 20) mit μ. — Der Name Πύστ-ακος geht offenbar, wie Πυστ-ίλος, auf das Verbaladjektiv πυσ-τό-ς zurück. — Auffällig das Fehlen des Artikels vor Δελφῶν Z. 23.

Zeit. Priesterschaft II: December/Januar 193/192.

1970 *W.-F.* 305. C. v. B.

Ἄρχοντος Καλλικράτεος μηνὸς Ἐνδυσποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀρχὼ Δορκίνα Ἀμφι|σσὶς τοῖ Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Λυσώ, ἀργυρίου μνᾶν τεσσάρων, κα|θὼς ἐπίστευσε Λυσὼ τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧτε αὐτὰν ἐλευθέραν εἶμεν καὶ ἀ|νέφαπτον τὸν πάντα βίον, ποιέ(ο)υσαν ὅ κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον· Γοργίας || Νίκωνος Ἀνφισσεύς, βουλευόντων Γλαύκου, Καλλία, Δεξικράτεος. μάρτυροι· τοὶ ἱα|ρεῖς τοῦ Ἀπόλλωνος Ξένων, Ἄθανβος· Νίκων, Ξενότιμος, Ἀρχίδαμος Ἀνφισσεῖς, Θεύ|ξενος, Δίων Κλέωνος, Ἀριστόμαχος, Νικόμαχος Εὐρυδάμου, [Ὀ]ρέστας Εὐχαρίδα.

Das Schluss-*ν* von *Νίκων* (Z. 6) vergass der Steinmetz zuerst, trug es dann aber über Ω nach. — *W.-F.* bemerken S. 311 zu Z. 2: „*Inscr.* ΓΥΝΑΙ-ΚΕΟΝ, es beruht diese Angabe aber auf einem Versehen. — Alles ist tadellos erhalten, verletzt nur 2 Zeichen in Z. 6 und das *ρ* nach der Lücke in Z. 7. — Man sieht nicht ein, warum hier nach dem Bürgen die delphische Behörde des zweiten Semesters genannt wird. Vgl. 2044, 6; 2068, 12; 2079, 4. — Neben viermaligem *-ωι* steht Z. 3 *ἐφ' ὧτε* und Z. 2 *τοῖ;* neben *Ἀνφισσεύς* 5, *Ἀνφισσεῖς* 6, *Ἄθανβος* 6 steht Z. 1 *Ἀμφισσίς*; vgl. 1965. — *W.-F.* Z. 4 *ποιεῦσαν*. Vgl. 1761, 6.

Zeit. Priesterschaft II: April/Mai 189.

1971 *W.-F.* 306. C. v. B.

Ἄρχοντος Εὐδώρου τοῦ Ἀμύντα μηνὸς Ἡραίου, ἐπὶ τοῖσδε ἀπέδοτο Σκόπας | Θεοφίλου, συνευδοκέοντος καὶ τοῦ υἱοῦ Θεοφίλου, τῶι θεῶι σῶμα ἀνδρεῖον | ὧι ὄνομα Εὔτυχος τὸ γένος Γαλάταν, τιμᾶς ἀργυρίου μνᾶν τεττάρων, | καὶ τὰν τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Εὔτυχος τῶι θεῶι τὰν ὠνάν, ἐ||φ' ὅτωι αὐτὸν ἐλεύθερον εἶμεν καὶ ἀνέφαπτον πάντα τὸν βίον, ποιέ|οντα ὅ κα θέλῃ. εἰ δέ τις ἐφάπτοιτο ἐπὶ καταδουλώσει, κύ|[ρι]ο[ς] ἔστω συλέων Εὔτυχος αὐσαυτόν. ὁμοί|ως δὲ καὶ ὁ παρατυχὼν κύριος ἔστω συλέων ὡς ἐ|λεύθερον Εὔτυχον ἀζάμιος ἐὼν καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. βεβαιωτὴρ || κατὰ τὸν νόμον· Δρομοκλείδας. παραμεινάτω δὲ Εὔτυχος παρὰ Σκόπαν ποιέων τὸ ποτιτασ|σόμενον πᾶν τὸ δυνατὸν ἄχρι οὗ κα ὁ ὑὸς αὐτοῦ Θεόφιλος ἐν ἁλικίαν ἐλθὼν γυναῖ|κα λάβῃ· εἰ δέ τι ἀντιλέγοισαν αὐτοὶ ποτὶ αὐτοὺς περὶ τοῦ ποιεῖν τὸ ποτιτασσό|μενον, ἐπικριθέντω | συνελόμενοι ἄν||δρας τρεῖς, καὶ ὅ κα | οὗτοι ὀμόσαντες | κρίνωντι, κύριον ἔστω. μάρτυροι· | οἱ ἱερεῖς τοῦ Ἀ[πόλλωνος].

An dieser Nummer bemerkte ich viele rote Farbenspuren. — Die Stellung *πάντα τὸν βίον* Z. 5 ist in diesen Denkmälern die ungewöhnliche. — *W.-F.* Z. 6/7 *κύ|[ριο]ς*, aber *ο* ist sichtbar. — 7 *αὐ[τὸ]ς αὐτόν*, mit der Bemerkung auf S. 311: *Inscr.* ΑΥΣΑΥΤΟΝ. — Die Inschrift ist sehr gut erhalten; verletzt ist je ein Zeichen in Z. 11 und 12. — Zu Z. 19, die *W.-F.* mit *οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος* .... wiedergeben, sagen sie S. 311: cette inscription est demeurée inachevée. Unmittelbar dahinter ist 4 Monate später 1972 gesetzt; vielleicht waren die Priester die einzigen Zeugen. — Zum Passus 12—18 vgl. die Anm. zu 1694.

Zeit. Priesterschaft VI (etwa 150—140).

1972 *W.-F.* 307. C. v. B.

Ἄρχοντος Εὐδώρου μηνὸς Βυσίου, ἐπὶ τοῖσδε ἀπέδοτο Σῖμον | Ἀμεινία τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα | Σωσικράτεια, ἀργυρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχει | πᾶσαν. βεβαιωτὴρ κατὰ τὸν νόμον τᾶς πόλιος· Ξένων Κλέωνος. παραμεινάτω δὲ Σωσικράτεια παρὰ Σῖμον ἕως κα ζώη | Σῖμον ποιοῦσα τὸ δυνατὸν πᾶν ἀνεγκλήτως. εἰ δέ τι πάθοι Σῖμον, | ἐλευθέρα ἔστω Σωσικράτεια, καθὼς ἐπίστευσε τὰν ὠνάν, ἐφ᾽ ὅτωι | ἔσται ἐλευθέρα καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα χρόνον, ποι|οῦσα ὅ κα θέλη. εἰ δέ τις ἐφάπτοιτο ἐπὶ κατα[δ]ουλισμῶι Σωσικρατείας, ‖ κύριος ἔστω ὁ παρατυχὼν συλέων ὡς ἐλευθέραν οὖσαν ἀζάμιος ὢν | καὶ ἀνυπόδικος πάσας δίκας καὶ ζαμίας. μάρτυρες· οἱ ἄρχοντες Θρα|συκλῆς, Ἀντιγένης, Εὐκλῆς· Ἀρτεμίδωρος, Ἰατάδας, Ἀριστόδαμος, | Ἀριστέας.

W.-F. Z. 9 *καταδουλισμῶι.* — Verletzt ist nur das *ω* in *Σωσικράτεια* Z. 7.

Zeit. Priesterschaft VI (etwa 150—140).

1973 *W.-F.* 308. C. v. B.

Ἄρχοντος Ἀρχία μηνὸς Ἐνδυσποιτροπίου, ἀπέδοτο Κλεοπάτρα Νι|καρχίδα, συνευδο[κ]έοντος καὶ τοῦ υἱοῦ Νικαρχίδα, σῶμα γυναικῆον ἇι | ὄνομα Ποθεινόν, καθὼς ἐπίστευσε τῶι Ἀπόλλωνι τῶι Πυθίωι Ποθεινὸν | ⟨τῶ θεῶ⟩ τὰν ὠνάν, τιμᾶς ἀργυρίου μνᾶν ἕξ, καὶ τὰν τιμὰν ἔχει πᾶσαν. ‖ βεβαιωτὴρ κατὰ τοὺς νόμους τᾶς πόλιος· Εὔδοκος. μάρτυροι· οἱ ἱε|ρεῖς τοῦ Ἀπόλλωνος Πραξίας Εὐδόκου, Ἀνδρόνικος Φρικίδα καὶ οἱ ἄρχον|τες Ἐμμε[ν]ίδας [Κ]αλλία, Δρομοκλείδας, Ξενόκριτος καὶ ἰδιῶται Μένης, | [. . .]ς, Πασίων.

W.-F. Z. 2 *συνευδοκέοντος,* dann *γυναικεῖον*, vgl. *ἀνδρῆον* 1785, 4 und 1919, 5. — 5 *[βε]βαιωτήρ,* aber die erste Silbe ist klar. — 7 *Ἐμμενίδας*

Καλλία. — Hinter dieser Nummer sind mehrere Zeilen getilgt, etwa 15. Das ist zuviel Raum für die Anführung von Zeugen. Hier stand noch ein ganzes Dekret (Pomtow nennt es 308a). Mit der Entzifferung habe ich mich nicht beschäftigt, aber soviel erkannte ich aus den lesbaren Resten der 2 letzten, vor dem unbearbeiteten Steinstücke stehenden Zeilen, dass sie den Schluss eines Dekretes bildeten. — In der Betonung des Sclavennamens kann man schwanken; es ist die Betonung *Ποθεινός* st. *Ποθεῖνος* überliefert. — Z. 4 ist *τῶ θεῶ* irrtümlicher Zusatz, den *W.-F.* nicht ausscheiden.

Zeit. Priesterschaft VI (etwa 150—140).

1974 *W.-F.* 309. C. v. B.

Ἄρχοντος Δαμοσθένεος μηνὸς Ἡραίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Ἀρχέλαος Πυθοφάνεος | Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα | γυναικεῖον ἇι ὄνομα Σωσίχα τὸ γένος || ἐγ Βοιωτίας, τιμᾶς ἀργυρίου μνᾶν | τεσσάρων καὶ ἡμιμναίου, καθὼς ἐπί|στευσε Σωσίχα τῶι θεῶι τὰν ὠνάν, | ἐφ' ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφα|πτον ἀπὸ πάντων τὸν πάντα βίον, || ποιέουσαν ὅ κα θέλη. βεβαιωτὴρ | κατὰ τὸν νόμον· Κλεύδαμος Κλέω|νος Δελφός. μάρτυρες· τοὶ ἱερεῖς | τοῦ Ἀπόλλωνος Ξένων, Ἄθαμβος | καὶ τοὶ ἄρχοντες Πεισίλας, Μαντίας, || Κλεύδαμος, ἰδιῶται Πράξων, | Γλαῦκος, Πραξίας, Λύσων, Δάμων.

Diese Inschrift ist tadellos erhalten und von *W.-F.* richtig wiedergegeben. — Zu *ἐγ Βοιωτίας* Z. 5 vgl. 1801, 5 *ἐγ-δαμεέτω*; 1878, 7 *ἐγ-διδαξάτω*. — Z. 14 steht die Form *Πεισίλας*, 1963, 8 *Πεισίλαος*, vgl. dazu 1713, 2; ebenso *Ἀρχέλας* 1761, 8 und *Ἀρχέλαος* 1774, 8. — Ist der Bürge *Κλεύδαμος Κλέωνος* der Archont?

Zeit. Priesterschaft II: October/November 182.

1975 *W.-F.* 310. C. v. B.

Στραταγέοντος Ἀλεξάνδρου Καλυδωνίου τὸ δεύτερον μηνὸς | Ἀγυείου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ὀρθαίου τοῦ Μαντία μηνὸς | Ἡρακλείου, ἐπὶ τοῖσδε ἀπέδ⟨.⟩οντο Πρώταρχος, Κλέα Δελφοὶ τῶι Ἀπόλλωνι τῶι Πυ[θίωι] | σώματα πέντε οἷς ὀνόμα(τα) Ἀνθράκιον, Βερενίκα, Λύκα, Φύλαξ, || Ἀνδριάς, ἀργυρίου μνᾶν ἴκοσι. βεβαιωτῆρες κατὰ τὸν νόμον | καὶ τὰν ὁμολογίαν· - Νικόδαμος, Πολύκλειτος Πεισίλα, Εὐχαρίδας Φαίνιος, | Δαμοσθένης Ἀρχέλα. παραμενόντω δὲ Ἀνθράκιον, Βερενίκα, Λύκα, Φύλαξ, | Ἀνδριὰς παρὰ Πρώταρχον καὶ Κλέαν ποέοντες τὸ ποτιτασσόμενον | ἄχρι κα ζώωντι Πρώταρχος καὶ Κλέα. εἰ δέ τί κα πάθη Πρώταρχος ἢ Κλέα, ||

τοῦ θεοῦ ἔστω Ἀνθράκιον καὶ Βερενίκα καὶ Λύκα καὶ Φύλαξ καὶ Ἀνδριάς, | ἐλεύθεροι ὄντες καὶ ἀνέφαπτοι τὸν πάντα βίον, καθὼς ἐπίστευσαν τῶι θεῶι | τὰν ὠνὰν Ἀνθράκιον, Βερενίκα, Λύκα, Φύλαξ, Ἀνδριάς. βέβαιον δὲ παρεχόντω, | εἴ τίς κα ἅπτηται αὐτῶν· κύριοι ἐόντω οἱ ἀντιτυγχ[ά]νοντες | συλέοντες ὡς ἐλευθέρους ὄντας, καθὼς ἐπίστευσαν τῶι θεῶι ‖ τὰν ὠνάν, ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι | πάσας δίκας καὶ ζαμίας. μάρτυροι· | τοὶ [ἱε]ρεῖς Ξένων, Ἄθαμβος· Κλεόδαμος, Λύσων, Παρνάσσ[ιος]· | Ἀριστόβ[ου]λος Δελφοί.

W.-F. Z. 3 *ἀπέδοντο.* Nach *ἀπεδ* schlug der Steinmetz ein fehlerhaftes E wieder aus und setzte *οντο* dahinter. — 4 *ὀνόματ[α]*, mit der richtigen Bemerkung auf S. 311: *Inscr.* ONOMA; der Steinmetz überging also die Silbe °(*τα*). — 5 [*ε*]*ἴκοσι.* — Z. 6 ist nach *ὁμολογίαν* ein kleiner freier Raum. Vgl. 1830, 7 u. a. — Z. 9 hat der Stein ΞΩΝΤΙ; über der Zeile zwischen Ω und N ist im Steine etwas zu sehen, was man auf ein nachgetragenes *ω* beziehen hönnte; also entweder *ζώωντι* oder *ζώ(ω)ντι.* — Z. 11 vergass der Steinmetz das *ν* von *ἐπίστευσαν*, setzte es aber über A noch hinzu. — *W.-F.* Z. 13 *ἀντιτυγχάνοντες.* — 17 *οἱ ἱερεῖς.* — Zu Z. 12. Im gleichen Formulare wird sonst der Nominativ zu *παρεχόντω* näher bestimmt (1979, 12; 1857, 6). — Das Asyndeton in Z. 13 hat Analogien: 1733, 8/9; 1811, 3; 1821, 9. — Bei *W.-F.* fehlt Z. 15 nach *ὠνὰν* die Interpunktion. — Z. 17 stehen nach den beiden Priestern die 3 Archonten (vgl. 2012, 1; 2080, 2).

Zeit. Priesterschaft II: Mai/Juni 195.

1976 *W.-F.* 311. C. v. B.

Ἄρχοντος Ἀρισταινέτου μηνὸς Δαιδαφορίου, ἐπὶ τοῖσδε ἀπέδοτο Κλέα Φαίνιος | Δελφὶς τῶι Ἀπόλλωνι τῶι Πυθίωι π[α]ιδάριον ὧι ὄνομα Νίκων, τιμᾶς ἀργυρίου μνᾶν | τεσσάρων, καθὼς ἐπίστευσε Νίκων τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧι ἐλεύθερος εἶμεν | καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποέων ὅ κα θέληι. βεβαιωτῆρες ‖ κατὰ τὸν νόμον· Πεισίλας Νικοδάμου, Ἀγέας Ἀλεξάνδρου Δελφοί. μάρτυρες· | ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος Ξένων καὶ τοὶ ἄρχοντες Ἀρχέλαος, Πράξων, ἰδιῶται | Δαμοχάρης, Εὐχαρίδας, Ἀνδρομένης.

W.-F. Z. 2 *παιδάριον.* — 3 *ἐφ᾽ ὧιτε ἐλεύθερος*, Stein nur *ἐφ᾽ ὧι*; vgl. 1736, 3; 1980, 5; 1983, 10; 1985, 20 u. so oft. — Zu *Πεισίλας* (Z. 5) vgl. 1974, 14. — Der Zeuge *Εὐχαρίδας* (Z. 7) ist wohl der Bruder (1975, 6) der Freilasserin.

Zeit. Priesterschaft II: November/December 183.

1977 *W.-F.* 312. C. v. B.

Στραταγέοντος Πολυξένου Τειθρωνίου μηνὸς Ἀφαμίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Πραξία μηνὸς Ἰλαίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Πολύξενος Λεοντομένεος Λιλαιεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώ[ματα] γυναι|κεῖα δύο αἷς ὀνόματα Κλεονίκα, Κλεώ, τιμᾶς ἀρ[γυρίο]υ μν[ᾶν], ὥστε [ἐλε]υθέρας [εἶμ]εν κ[αὶ] ἀνεφά|πτους⟨ο⟩ ἀπὸ πάντων τὸν πάντα βίον, καθὼς [ἐπίστευσαν τὰν ὠν]ὰν τῶι Ἀπόλλωνι, διατρίβε[ιν] τε ‖ Κλεονίκαν καὶ Κλεὼ εἴ κα αὐταὶ [θέλωντι. βεβαιωτὴρ κατὰ τὰν] συμβολάν· Εὔαρχος Μέστα. | μάρτυρες· τοὶ ἱερεῖς [Τα]ρα-ντῖνος, Διόδωρος, Δεξικράτης, | Εὐκλε[ίδα]ς.

W.-F. Z. 2 *σώματα.* — 3 *τιμᾶς ἀργυρίου μν[ᾶν]* . . ., also die Zahl fehlte schon früher; dann *ὥστε ἐλευθέρας εἶμεν καὶ ἀνεφά|πτους.* — 4 Zu Anfang ist nach °*πτους* entweder ein fehlerhaftes, den Anfang zu einer Dittographie bildendes Omikron oder eine dem ähnliche Steinverletzung anzuerkennen. — 4 Ende *διατρίβειν τε.* — 5 *Κλεονίκα,* der Nominativ ist aber nur Versehen von *W.-F.*, der Stein hat den regelrechten Accusativ. — 6 Nach *ἱερεῖς* Lücke. Ich habe sie zu bestimmen vergessen. Der erste Name, der im Texte folgt, gehört nicht zur Priesterschaft. Diese heisst: *Ἄθαμβος — Ἀμύντας.* Tarantinos ist also (wie 1929, 11) Privatperson. *W.-F.* geben: *[Τ]α[ρα]ντῖνος;* zwischen *ρα* und *ν* notierte ich eine kleine Lücke. — 7 *Εὐκλεί[δα]ς.*

Zeit. Priesterschaft III: Juni/Juli 177.

1978 *W.-F.* 313. C. v. B.

[Στραταγέ]οντος Θόα τ[ὸ δεύτερον] μηνὸς Ἀγυείου, ἐν | [Δελφοῖς δ]ὲ ἄρχοντος Πειθ[αγόρα μ]ηνὸς Ἡρακλείου, | [ἐπὶ τοῖσδ]ε ἀπέδοτο Ἀγέστρατος Ὀφιεὺς τῶι | [Ἀπόλλων]ι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Φαλακρ[ί]ων, ‖ τιμᾶ[ς ἀρ]γυρίου μνᾶν τεσσάρων. βεβαιωτῆρες κατὰ τὸν νό|μον καὶ τὰν συμβολάν· Τηλεφάνης, Κλέων Πλυγονεῖς. παρα|μεινάτω δὲ Φαλακρίων παρὰ Ἀγέστρατον ἔτεα ὀκτὼ ποιέ|ων τὸ ποτιτασσόμενον ἀνεγκλήτως τὸ δυνατόν. ἐπεὶ δέ κα | παραμείνῃ Φαλακρίων παρὰ Ἀγέστρατον τὰ ὀκτὼ ἔτη, ἀπο‖λελυμένος ἔστω Φαλακρίων ἀπὸ Ἀγεστράτου ἐλεύθερος | ὢν καὶ ἀνέφαπτος τὸμ πάντα βίον, κυριεύων αὐτοσαυτοῦ | καὶ ποιέων ὅ κα θέλῃ. μάρτυρες· τοὶ ἱερεῖς Ξένων, Ἄθαμβος | καὶ ἰδιῶται Δαμοχάρης, Στράτων, Παρνάσσιος Δελφοί, | Μάχων, Ἀρισταγόρας, Σωσικράτης, Λύκος Πλυγονεῖς.

Die ersten 3 Zeilen fand ich gerade so verletzt, wie *W.-F.* es notieren. — *W.-F.* Z. 4 *[Ἀπόλλω]νι,* am Ende *Φαλακρίων.* — 5 *τιμᾶς ἀργυρίου.* Also die Verletzung der Inschrift hat bereits in Z. 4 u. 5 hinüber-

gegriffen. Dagegen ist von 6—14 alles tadellos erhalten, ausgenommen das *ρ* von *παρα-* am Ende von Z. 6 und das *α* von *δυνατόν* Z. 8. — Sicher ist, dass Z. 7 und 9 die Formen *ἔτεα* und *ἔτη* wechseln. — Zu *Φλυγόνιον* h. hier, wie oft in diesen Denkmälern (1989, 8, s. Index), das Ethnikon *Πλυγονεύς* statt **Πλυγονιεύς*. — Bei den Autoren h. die ätolische Völkerschaft bald *Ὀφιεῖς* (wie Z. 3), bald *Ὀφιονεῖς*.

Zeit. Priesterschaft II: Mai/Juni 193.

1979 *W.-F.* 314. C. v. B.

Ἄρχοντος Ἐκεφύλου μηνὸς Βουκατίου, ἐπὶ τοῖσδε ἀπέδοτο Πολύ|ων Νικάρχου Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώματα ἀνδρεῖα | δύο οἷς ὀνόματα Σίμων, Ταυρίων, τιμᾶς ἀργυρίου μνᾶν ἕξ. βεβαι|ωτὴρ κατὰ τὸν νόμον καὶ τὰν ὁμολογίαν· Μίκκων Ξενώνδα Δελφός. ‖ παραμενόντων δὲ Σίμων, Ταυρίων παρὰ Πολύωνα ἄχρι κα ζώῃ | Πολύων ποιέοντες τὸ ποτιτασσόμενον· εἰ δέ κα μὴ ποιέωντι τὸ ποτι|τασσόμενον ἢ ἄλλο τι κακοποιέωντι, ἐξέστω κολάζειν ὥς κα αὐ|τὸς θέλῃ Πολύων καὶ ὅν κα κελεύῃ Πολύων. εἰ δέ τί κα πάθῃ Πολύων, | τοῦ θεοῦ ἔστωσαν Σίμων, Ταυρίων ἐλεύθεροι ὄντες καὶ ἀνέφαπτοι ‖ τὸμ πάντα βίον, ποιέοντες ὅ κα θέλωντι, καθὼς ἐπίστευσαν τῶι | θεῶι τὰν ὠνὰν Σίμων, Ταυρίων. βέβαιον δὲ παρεχόντω τῶι Ἀπόλλω|νι τὰν ὠνάν, εἴ τίς κα ἐφάπτηται αὐτῶν, ὁ βεβαιωτὴρ Μίκκων καὶ ὁ ἐπί|νομος τῶν Πολύωνος. κύριοι δὲ ἐόντων καὶ οἱ ἀντιτυγχάνοντες | συλέοντες ὡς ἐλευθέρων ὄντων, καθὼς ἐπίστευσαν τῶι ‖ Ἀπόλλωνι τὰν ὠνὰν Σίμων, Ταυρίων, ἀζάμιοι ὄντες καὶ ἀνυπόδι|κοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· τοὶ ἱ(ε)ρεῖς Ξένων, Ἄθαμβος | καὶ τοὶ ἄρχοντες Ξένων, Φιλαίτωλος, Ἀστύοχος καὶ ἰδιῶται | Δίων, Θρασυκλῆς, Ἀρχέλαος, Ἀρχιάδας, Δαμοχάρης, Ἀγάθων Δελφοί.

Diese Inschrift ist tadellos erhalten. Bei *W.-F.* stehen zwei Fehler: Z. 7 *ἄλλο τι ποιέωντι;* Z. 17 *καὶ οἱ.* — In Z. 16 hat der Stein: ΤΟΙΙΡΕΙΣ; auf S. 311 merken sie es an. — Beachtenswert die Uebereinstimmung im Formulare von 1979, 8—16 mit 1975, 9—16 und die Abweichung in *ὡς ἐλευθέρων ὄντων* Z. 14 gegenüber *ὡς ἐλευθέρους ὄντας* 1975, 14. Der Anschluss des Genitivs an *ἀντιτυγχάνοντες* — über *συλέοντες* hinweg — ist ungewöhnlich. Vgl. 1918, 11; 2006, 11; 2069, 17.

Zeit. Priesterschaft II: August/September 193.

1980 *W.-F.* 315. C. v. B.

Ἄρχοντος Καλλικράτεος μηνὸς Βοαθόου, ἐπὶ τοῖσδε ἀπέ|δοτο

Φιλήμων Σωκλέος Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυ|θίωι σῶμα γυναικεῖον ἆι ὄνομα Βακχὶς οἰκογενῆ, | τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, || καθὼς ἐπίστευσε Βακχὶς τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐ|τὰν ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον τὸν πάντα βίον, | ποέουσαν ὅ κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νόμον· Ἁβρόμαχος | Εὐαγόρα Δελφός. μάρτυρες· ὁ ἱερεὺς Ἄθαμβος· Παρνάσσιος, Δαμοχά|ρης Καλλείδα, Νικόμαχος Νικαγόρα, Μενέστρατος, Κράτων || Φρικίδα, Ἀριστώνυμος Δελφοί, Μεγακλῆς.

Der Text dieser Inschrift ist tadellos erhalten und von *W.-F.* richtig wiedergegeben. — *ἐφ' ὧι* (Z. 5) kommt auf älteren Inschriften verhältnismässig häufig vor, vgl. 1976, 3; 1981, 4; 1983, 6; 1985, 5; 1986, 6 u. s. w. — Dass *Μεγακλῆς* Z. 10 nach *Δελφοί* steht, ist wohl so zu erklären, dass der Steinmetz den Namen erst vergass. Ist *Μεγακλῆς* aber der *Ἀμφισσεύς* von 1808, 12; 15; 2057, 11, so fällt die Weglassung des Ethnikons auf.

Zeit. Priesterschaft II: September/October 190.

1981 *W.-F.* 316. C. v. B.

Στραταγέοντος Νικάνδρου Τριχονίου μηνὸς Προκυκλίου, ἐν Δελ|φοῖς δὲ ἄρχοντος Καλλικράτεος μηνὸς Βοαθόου, ἐπὶ τοῖσδε ἀπέδοτο | Κλεύμαχος Ἀμφισσεὺς Σωσίαν τῶι Ἀπόλλωνι τῶι Πυθίωι, ἀργυρίου | μνᾶν τριῶν, καθὼς ἐπίστευσε Σωσίας τῶι Ἀπόλλωνι τὰν ὠνάν, ἐφ' ὧι || αὐτὸν ἐλεύθερον εἶμεν, ποέοντα ὅ κα θέληι. βεβαιωτὴρ κατὰ τὸν | νόμον· Ἀρίστων Χαιρεσιλάου Μυανεύς. τὰν τιμὰν ἔχει. μάρτυροι· Τήλων | Φιλοξένου, Κλέων Σωξένου, Ἀριστόμαχος Κλεαίου, Θηβαγόρας, | Δωρόθεος.

Zum Texte ist nur zu bemerken, dass das *χ* von *ἔχει* über den 2 *ε* steht, also nachgetragen ist. — S. 311 machen *W.-F.* zu Z. 6 *Τήλων* die Anmerkung: Il faut peut-être lire *Ζήλων*. Aber warum nur? *Τήλων* gehört in die Reihe der Kurznamen, wie *Τηλ-έας*, *Τῆλ-ιος*, *Τῆλ-υς*, und ist die Vorstufe zu *Τηλώνδας*, dem Namen eines Kabiren (vgl. Paus. IX, 25, 8).

Zeit. Priesterschaft II: September/October 190.

1982 *W.-F.* 317. C. v. B.

Ἄρχοντος Καλλικράτεος, βουλευόντων Γλαύκου τοῦ Ξένωνος, Δεξικράτεος τοῦ Μνασιθέου, Καλλία τοῦ Ἐμμενίδα, μηνὸς | Ἀμα[λί]ου, ἐπὶ τοῖσδε ἀπέδοντο Ἅρμιχον, Ἀρισταγόρα, Τελεσὼ τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώματα δύο, ἀνδρεῖον καὶ

γυναικεῖον, | [οἷς ὀνόμ]ατα Σωσίας καὶ Πύῤῥισα, τιμᾶς ἀργυρίου μνᾶν δέκα, καὶ τὰν τιμὰν ἔχοντι, καθὼς ἐπίστευσαν Σωσίας καὶ Πύῤῥισα | [τῶι θεῶι] τὰν ὠνάν, ἐφ' ὧιτε αὐτοὺς ἐλευθέρους εἶμεν καὶ ἀνεφάπτους ἀπὸ πάντων τὸμ πάντα βίον καὶ ποιέοντας || [ὅ κα θέλ]ωντι. βεβαιωτῆρες κατὰ τὸν νόμον τὸν τᾶς πόλιος· Ἁγίων Καλλικράτεος, Ἁβρόμαχος Εὐαγόρα. | [μάρτυ]ρες· τοὶ ἱερεῖς Ξένων, Ἄθαμβος καὶ ἰδιῶται Δίων Κλέωνος, Δαμοχάρης Καλλείδα, Ἐπικράτης | [Ἀρ]ιστοτέλεος, Καλλίκων Εὐκράτεος, Σέλευκος, Μενεκράτης, Ἀγησίας.

Die Lücken, die *W.-F.* in den Zeilenanfängen 2—7 gaben, fand ich bestätigt; Z. 7 haben sie [*Ἀρι*]*στοτέλεος*, aber Jota ist noch halbwegs zu sehen. — Zu Z. 2. Den ersten Frauennamen schreiben *W.-F.* hier *Ἄρμιχον*, 1761, 2 aber *Ἄρμιχον* (s. unter dieser Nummer die Bemerkung). Vgl. 2007, wo dieselben Freilasserinnen.

Zeit. Priesterschaft II: Januar/Februar 189.

1983 *W.-F.* 318. C. v. B.

Στραταγέοντος Θόα τὸ δεύτερον | μηνὸς Ἀθαναίου, ἐν Δελφοῖς δὲ ἄρχον|τος Πειθαγόρα μηνὸς Ἡραίου, ἐν δὲ Τεί|θρωνι ἄρχοντος Πολυξένου, ἀπέδοντο || Εὐκράτης, Νικὼ Ἐχεδαμιεῖς ἐν Τείθρωνι | κατοικέοντες, συνευδοκεόντων τῶν παιδαρίων | Μενεδάμου, Εὐπάδος, τῶι Ἀπόλλωνι τῶι Πυθίωι | σῶμα γυναικεῖον ἇι ὄνομα Ζωπύρα, τιμᾶς ἀργυρίου | μνᾶν πέντε στατήρων εἴκοσι πέντε, καθὼς ἐπί||στευσε Ζωπύρα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὰν | ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον, ποιέουσαν ὅ κα θέλῃ. | βεβαιωτῆρες κατὰ τὸν νόμον καὶ [τ]ὰν συμβολάν· Εὔκρι|τος Τειθρώνιος, Σωγενίδας Ἐχεδαμιεύς. μάρτυρες· Πολύξε|νος, Ἀγασίδαμος, Τέλων Τειθρώνιοι, Ἀγασίας, Ἀρχίας, || Λυσίας, Τίμων, Χαρίδαμος. ἁ ὠνὰ παρὰ Πολύξενον, Ἄθαμβον.

Die Erhaltung der Inschrift ist fast tadellos. *W.-F.* Z. 12 *τάν*. In Z. 15 ist es wegen eines Risses auf dem Steine nicht ganz klar, ob *Ἄθαμβ°* oder *Ἄθανβ°* zu lesen ist; das *μ* ist wahrscheinlicher. — Den Namen *Εὐ-π-άς* vgl. mit den vom Vf. Stud. I 59 gesammelten Beispielen. — Wie 1954, 9, wohnt hier nach Z. 13 der auswärtige *ἄρχων* der Freilassung bei. — Der zweite, der die *ὠνά* aufbewahrt, ist der Priester.

Zeit. Priesterschaft II: October/November 194.

1984 *W.-F.* 319. C. v. B.

Στραταγέοντος Δαμοκρίτου τὸ δεύτερον μηνὸς Δίου, ἐν Δελ|φοῖς δὲ ἄρχοντος Ἐκεφύλου μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε

ἀπέδοτο | Ἀριστόδαμος Τιμοδάμου Ἀμφισσεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα | γυναικεῖον ἇι ὄνομα Γοργὼ καὶ τὸν υἱὸν αὐτᾶς Νικόβουλον, ἀργυρίου μνᾶν || ἕξ. βεβαιωτὴρ κατὰ τὸν νόμον καὶ τὰν συμβολάν· Νικόλαος Πολυξένου | Ἀμφισσεύς. παραμεινάτω δὲ Νικόβουλος πὰρ Ἀριστόδαμον ἔτεα δύο μετὰ | τὰν Πασίνου ἀρχάν· ἐπεὶ δέ κα παραμείνῃ Νικόβουλος τὸγ γεγραμμένον | χρόνον, ἐλεύθερος ἔστω καὶ ἀνέφαπτος τὸμ πάντα βίον κυριεύων αὐτοσαυ|τοῦ καὶ ποιῶν ὅ κα θέλῃ, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. μάρτυρες· || τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ξένων, Ἄθαμβος καὶ ὁ ἄρχων Ξένων Δαμο|χάρεος⟨ς⟩· Ζηνέας, Ξένων Φιλοκράτεος Δελφοί, Φιλοκλῆς Ἐλατεύς, | Κλεόδαμος, Λυκίσκος Ἀμφισσεῖς, Μνασικράτης Οἰανθεύς. ἁ ὠνὰ | παρὰ Ξένωνα τὸν ἱερῆ.

W.-F. Z. 6 *παρὰ Ἀριστόδαμον.* Vgl. 2068, 13. — Zu Z. 10 *τοὶ ἱερεῖς.* Auf dem Steine sieht es so aus: ΤΟΙΕΕΡΕΙΣ. Nach *τοὶ* also schlug der Steinmetz versehentlich gleich E ein; sofort merkte er sein Versehen, setzte E nochmals dahinter und suchte das erste bis auf die senkrechte Hasta zu tilgen. — Z. 10/11 *Δαμο|χάρεος,* mit der Bemerkung auf S. 311: Le graveur avait d'abord mis ΧΑΡΗΣ. Il a corrigé ensuite en ΧΑΡΕΟΣ. Zwischen H u. Σ setzte er *o* in kleiner Form; die linke senkrechte Hasta des H versah er oben und unten mit einer schmalen, wagerechten Seitenhasta, um so H in E zu ändern, liess aber die rechte senkrechte Hasta des H unberührt. Schliesslich versah er sich noch einmal: hinter das verbesserte |*χαρεος* setzte er ein dittographisches *ς*.

Zeit. Priesterschaft II: December/Januar 193/192.

1985 *W.-F.* 320. C. v. B.

Στραταγέοντος Ἀρχεδάμου μηνὸς Δ[ί]ου, ἐν Δελφοῖς δὲ ἄρχοντος Φαίνιος | μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Μενοίτας Κριτολάου Θρονιεὺς | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Βιβία τὸ γένος | Ῥωμαίαν, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Βιβία τῶι θεῶι || τὰν ὠνάν, ἐφ' ὧι αὐτὰν ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον τὸν πάντα | βίον καὶ ποιέουσαν ὅ κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον καὶ τὰν συμβο|λάν· Λέων Λύκου Αὐγαιεύς. μάρτυρες· τοὶ ἱερεῖς Ξένων, Ἄθαμβος καὶ τοὶ | ἄρχοντες Ἀνδρόκριτος, Κλεόδαμος, ἰδιῶται Δαμοχάρης, Εὐκλείδας, | Ἀρίσταρχος Δελφοί, Πολεμίτας, Τιμάγορος, Σύμμαχος Δεξιεῖς.

W.-F. Z. 1 *Δίου.* — 7 *Ἀνταιεύς.* Aber nach A ist die untere Hälfte einer senkrechten Hasta, in regelrechter Breite davon entfernt wieder das Gleiche zu sehen. Bestimmt giebt es keine Spur von dem Querstrich,

der zu N gehören müsste. So vervollständige ich lieber Αυ zu ΑΥΓ. Es lag *Αὐγειαί* oder *Αὐγαιαί* in der Nähe von *Θρόνιον*. — Der Name *Βιβία* auch 1960, 3.

Zeit. Priesterschaft II: December/Januar 191/190.

1986 *W.-F.* 321. C. v. B.

Στραταγέοντος Ἀρχεδάμου Φόλα μηνὸς Βουκατίου, ἐν Δελφοῖς δὲ | ἄρχοντος Φαίνιος μηνὸς Δαιδαφορίου, ἐπὶ τοῖσδε ἀπέδοτο Θέρσιππος | Νίκωνος Ὀπούντιος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον | ὧι ὄνομα Κρόκος, τιμᾶς ἀργυρίου μνᾶν δύο καὶ ἡμιμναίου, καὶ τὰν ‖ τιμὰν ἔχει πᾶσαν, καθὼς ἐπίστευσε Κρόκος τῶι θεῶι τὰν ὠνάν, | ἐφ᾽ ὧι αὐτὸν ἐλεύθερον εἶμεν, ποιέοντα ὅ κα θέλῃ καὶ ἀναστρε|φόμενον εἷ κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον καὶ τὰν συμ|βολάν· Ταραντῖνος Ἄρχωνος Δελφός. μάρτυρες· οἱ ἱερεῖς Ξένων, | Ἄθαμβος καὶ ἄρχοντες Ἀνδρόκριτος, Ξένων, ἰδιῶται Ζηνέας, ‖ Ἀρχέλαος, Νικόμαχος Δελφοί, Διονύσιος, Ἀλέξων Πλυγονεῖς. | ἁ ὠνὰ παρὰ τὸν ναοκόρον Καλλικλῆ.

Diese Inschrift ist tadellos erhalten und tadellos von *W.-F.* wiedergegeben. — Z. 9 ist das Fehlen des Artikels vor *ἄρχοντες* auffällig.

Zeit. Priesterschaft II: November/December 191.

1987 *W.-F.* 322. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλ[ῶν | Ἀρχεδάμ]ου Φόλα τὸ τέταρτο[ν] μηνὸς Ἱπποδ[ρ]ο[μίου, | ἐν Δ]ελφοῖς δὲ ἄρχοντος Ἀρχελάου τ|[οῦ Δα]μοσθένεος μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδ‖[ε ἀπ]έδοντο Ἱρανίων, Ξενίων Δάμωνος Καλλ|[ιπο]λῖται σώματα δύο, γυναικεῖον καὶ ἀνδρεῖον, | [(ο)]ἷς [ὀ]νόματα Ἀστερόπα, Νικόμαχος τὸ γένος ἐξ Ἀ|θαμανίας, ἀργυρίου μνᾶν ἕξ, καθὼς ἐπίστευσε Ἀστε|ρόπα καὶ Νικόμαχος τὰν ὠνὰν τῶι θεῶι, ἐφ᾽ ὧιτε ἐλευθέρ‖ους καὶ ἀνεφάπτους (εἶμεν) τὸν πάντα [β]ίον, ποιοῦντες ὅ κα θέλων[τι]. | βεβαιωτῆρες κατὰ τὸν νόμον· Ἀλκῖνος Ἀρχιάδα Δελφός, | Ἀγέλαος Ἀγχεμάχου Καλλιπολίτας, Μενέδαμος Δαμοκλ[έος] | Φυσκεύς. μάρτυροι· τοὶ ἱαρεῖς τοῦ Ἀπόλλωνος Ἄθαμ[βο]|ς, Ἀμύντας καὶ τοὶ ἄρχοντες Ταραντῖνος, Ἀρχέλαος ‖ Πραόχου, Καλλίας, ἰδιῶται Χαρίξενος, Δεξικράτης, | Ἀρχέλαος, Καλλίαρος, Δορίμαχος, Ἀλέξανδρος, | Ὀρέστας.

Im ersten Worte liess der Steinmetz ΤΑ weg, setzte es aber nachträglich über ΓΕ. — Die Lücke von 1/2 ergänzten *W.-F.* richtig mit der Bemerkung auf S. 311: Pour la restitution *Ἀρχεδάμου*, voir 178, 1 (= 1843, 1).

Falsch aber war, dass sie hier Z. 2 τὸ τρίτον gaben, während doch 1843, 1, auf das sie verwiesen, στραταγέοντος Ἀρχεδάμου Φόλα τὸ τέταρτον lautet. Sie waren offenbar irre gemacht durch 1795, 1, wo sich der Steinmetz thatsächlich versah und τὸ τρίτον einschlug. Das Versehen entschuldigt, wer die Ueberlieferung am Steine gesehen hat; auch Pomtow hätte es thun sollen. In der Anmerkung zu S. 4 seiner „Beiträge“ sagt er: „Der Stein hat TOTETAPON (sic).“ Aber errare humanum est. So steht eben nicht auf dem Steine, erstens nicht mit solcher Klarheit der Zeichen, zweitens nicht diese lautlich unerklärliche Form. Zwischen ΤΟΣΤΩΝΑΙΤ der ersten Zeile und ΦΟΛΑΜΗΝΟΣΙΠ° der zweiten Zeile hat der Steinmetz das vergessene τὸ τέταρτον nachgetragen, und zwar steht τὸ unter dem ο von τος und über dem Λ von Φόλα; zwischen Λ von Φόλα u. Μ von μηνὸς ist τ so hineingedrängt, dass es unter das Σ von °ΤΟΣ zu stehen kommt; über Μ von μηνὸς ist ganz klein ε gesetzt, so dass es in den Zwischenraum zwischen Σ von °τος und Τ von τῶν hineinragt; unter ΤΩ von τῶν und über dem Η von μηνὸς steht ΤΛ, also ohne Querstrich im Alpha; unter dem Ν von τῶν und zwischen ΝΟ von μηνὸς ist ρ eingezwängt; über dem Zwischenraume von ΟΣ in μηνὸς und unter ΝΑ von τῶν Αἰτ° steht klar und bestimmt Τ; unter dem Jota von ΑΙΤ° steht im Linienzwischenraume ganz klein, aber deutlich Omikron, und daneben, nach rechts, ist der Anfang zu Ν, die linke Steilhasta, zu sehen, sonst nichts. Also ν ist entweder einst nicht fertig oder jetzt undeutlich geworden. Diese kleine Hasta steht im Zwischenraume über ΙΠ° und unter Τ von Αἰτ°. Demnach habe ich τὸ τέταρτο[ν] zu schreiben, und die Unform *τέταρον ist aus der Welt geschafft. — *W.-F.* Z. 2 Ἱππ[οδρ]ομίου. — 3 ἐν Δελφοῖς. — 4 Ende τοῖσ[δ]ε. — 5 |ε ἀπέδοντο, dann freier Raum mit 17 Punkten. Die Namen sind aber leidlich zu erkennen. In Ξενίων ist Ω nicht ganz vollständig. — 5/6 Καλλ|ιπολῖται. — 7 [ο]ἶς ὀνόματα, Stein ΑΙ∠. — 7/8 τὸ γένος ἐξ | Θαμανίας. Am Zeilenende steht nach ἐξ noch Λ, am Zeilenanfange ΟΑΜ°, was zweifellos Ἀ|θαμανίας ergiebt. Das ξ der Präposition hätte sie doch auf vokalischen Anlaut führen sollen. — 10 ohne εἶμεν nach ἀνεφάπτους; dann βίον. — 11 Die 3 Wörter Ἀλκῖνος Ἀρχιάδα Δελφός sind halbwegs lesbar; es scheint aber, als ob der Steinmetz sie habe ganz tilgen wollen. — *W.-F.* Z. 12 Ἀγχ[ι]μάχου. Ich habe Ἀγχεμάχου belassen. Vgl. ἀγχέμαχος bei Homer und ἀνκέμο[λον] in den Gortyner Fragmenten 81, 3 (Verf. Cretica, S. 57). — Die Enden von Z. 10, 12 und 13 sind jetzt noch so erhalten, wie sie *W.-F.* sahen. — In Z. 16 ist wirklich Καλλίαρος eingeschlagen, also consequent mit ἱαρεῖς Z. 13. — Der Ἀρχέλαος, der unter den ἰδιῶται steht, ist vielleicht der ἄρχων ἐπών. Vgl. 1993, 8.

Zeit. Priesterschaft III: Juni/Juli 174.

1988 *W.-F.* 323. C. v. B.

[Στραταγέοντος Θόα τὸ δεύτερον μηνὸς Προκυκλίου,] ἐν Δελφ[οῖς δὲ] ἄρχον|[τος Πειθαγόρα μηνὸς Βοαθόου, ἐπὶ τοῖσδε ἀπέδοτο Φιλ]οκρά[της Θε]οφράστου | [Μνανεὺς τὰν ἰδίαν

θεράπαιναν ἆι ὄνομα Καρίνα τῶι] Ἀπόλ[λωνι τ]ῶι Πυθίωι, | ἀργυ[ρίου μνᾶν τεσσάρων, καὶ τὰν τιμὰν ἔχει πᾶσ]αν, καθὼ[ς ἐπίστ]ε[(υ)]σε ‖ Καρ[ίνα] αὐ[τὰ τ]ῶι θεῶι τὰν [ὠνάν, ἐφ' ὧι αὐτὰν ἐλευ]θέραν [εἶμ]εν, ποέου|[σα]ν [ὅ κα] θέλη καὶ εἶ κα θέλη. βεβαι[ωτήρ· Ξένων Φιλοκ]ρ[ά]τεος, | [κ]ατὰ τὸν νόμον καὶ τὰν συμβο[λ]ά[ν. μάρτυρε]ς· τοὶ ἱε[ρεῖ]ς | [τ]οῦ Ἀπόλλωνος τοῦ Πυθίου Ξέ[νων, Ἄθαμβ]ος καὶ τοὶ [ἄ]ρχοντ[ες | τ]ῶν Δελ-φ[ῶ]ν Ἁβρόμα[χ]ος, Εὐρύμα[χος], Βαβ[ύ]λος· Σωσίνικος Ἀμ-φισσεύ[ς, ‖ Ὀ]ρθα[ῖ]ος, Λυσίας, Πο[λ]ύκλε[ι]τος, Στρά[μβ]ος Οἰνοαῖος, Νικόδαμος.

Diese Inschrift hat sehr gelitten; der Stein bröckelt ab. Im Anfange ist sie jetzt fast ganz zerstört; von Z. 1—3 sah ich nur je 4 volle Zeichen, in Z. 1 ein fünftes halb; Z. 4 notierte ich *πᾶσ]αν, καθὼ[*]ΣΗΣΕ, was ich mir nicht erklären kann, da die Formel doch nach *καθὼς* das Verbum *ἐπίστευσε* hat. Ob *ἐπίστ]ε[(υ)]σε*? Schon *W.-F.* fanden die Stelle 1—4 lückenhaft: sie notierten in Z. 1 und 2 je zwei Lücken, Z. 1 *στραταγέον-τ[ος Θόα τὸ δεύτερον μην]ὸς* und *Δελ[φοῖς δ]ὲ;* Z. 2 *Βοαθό[ου, ἐπὶ τ]οῖσδε ἀπέδοτο Φιλοκράτ[ης Θε]οφράστου;* ferner in Z. 3 und 4 je eine, Z. 3 *Ἀπόλ[λωνι τ]ῶι;* Z. 4 *καθὼ[ς ἐ]πίστευσε.* Von Z. 5 ab ist mehr sichtbar geblieben, wenn auch die Zeichen oft arg verstümmelt sind. *W.-F.* Z. 5 *Καρίνα αὐτὰν τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὰν ἐλευθέραν [εἶμ]εν ποέου|*. Ich bin misstrauisch gegen das *αὐτὰν* nach *Καρίνα* und habe oben in die Klammer gesetzt, was wir erwarten; beim Namen steht der Nominativ von *αὐτός* z. B. 1726, 2; 1729, 6; 1760, 7; 1772, 7; 1852, 5; bei *τὰν ὠνὰν* 1802, 2 *αὐσαυτᾶς*. Möglich wäre freilich auch, dass der Steinmetz wirklich *αὐτὰν* einschlug, weil sein Auge auf das *αὐτὰν* nach *ἐφ' ὧι* in derselben Zeile abirrte. — Z. 6 |*σαν ὅ κα θέλη καὶ εἶ κα θέλη,* verständlich übrigens ohne das sonst formelhafte *ἀποτρέχουσαν* nach *καὶ*. Dann *βεβαιωτήρ· Ξένων Φιλο-κράτεος.* — Wie Z. 6, so geben *W.-F.* auch 7—10 voll, ohne jede Klammer. Zu *Στράμβος* Z. 10 merken sie S. 311 an: Ce nom (*Στράμιος*) est d'une lecture difficile. L'inscription semble porter ΣΠΡΑΜΙΣΟΣ. Für den 2. Teil des Namens sehe ich nur °α[..]ος. Beim zweiten Zeichen des Anfanges, beim Tau, setzte der Steinmetz die senkrechte Hasta nicht in die Mitte der oberen wagerechten, sondern zu weit rechts. Deshalb glaubten *W.-F.* *π* lesen zu müssen, aber die linke senkrechte Hasta fehlt bestimmt. Vgl. 2041, 17.

Zeit. Priesterschaft II: September/October 194. Der Anfang der Inschrift lässt sich nach 1983, 1—3 restituieren, wie *W.-F.* schon in der Anmerkung S. 311 angaben: pour le nom du stratége, voir 318, 1.

1989 *W.-F.* 324. C. v. B.

Στρατ[α]γέοντος Φαινέα τὸ δεύτ[ε]ρον μηνὸς Δίου, ἐν Δελ-[φοῖς δὲ ἄ]ρχοντος Κλευδάμου | μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀριστόμαχος Ἀριστοβούλ[ου] Δελφὸς τῶι Ἀπόλλωνι (σῶμα γυναικεῖον) | ἆι ὄνομα Ἀνθράκιον τὸ γέν[ος Φ]οίνισσαν,

ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Ἀν|⟨Ἀν⟩θράκιον τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὰν ἐλευθέραν εἶ[με]ν, ποέουσαν ὅ κα θέ||λῃ. βε[β]αιωτὴρ κατὰ τὸν νόμον· [.....(.) Ἀ]ρί-σταρχος Μαντία. μάρτυρ|οι· - - - Εὐχαρίδας, Καλλικλῆς, | Ὀρέ-στας, Φαῖνις Δελφοί, |Ἄρχων, Εὔαρχος Πλυγονεῖς.

Die Zeichen dieser Inschrift sind klein und stehen nicht tief im Steine. Mir wollte es den Anschein erwecken, als ob sie eingeritzt wären. Wo die Nummer steht, ist der Stein sehr bröcklich. *W.-F.* Z. 1 *στραταγέοντος*, dann *δεύτερον* und *ἐν Δελφοῖς δὲ ἄρχοντος.* — 2 *Ἀριστοβούλου.* S. 311 sagen sie zum Schlusse: à la fin de cette ligne, le graveur a oublié *σῶμα γυναικεῖον.* Uebrigens nicht unbedingt nötig. — 3 *τὸ γένος Φοίνισσαν.* — 3/4 ohne Angabe der Dittographie. — 4 *εἶμεν.* — 5 *βεβαιωτὴρ κατὰ τὸν νόμον· Ἀρίσταρχος.* Nach *νόμον* ist ein Loch. Das macht einen Raum wie für 6-7 Zeichen aus. Wir müssen unentschieden lassen, ob das Loch von Anfang an da war oder ob Zeichen dort standen. Diese könnten freilich nur dittographische gewesen sein, weil die üblichen Zusätze zu *νόμον* wie *τᾶς πόλιος, καὶ τὸ σύμβολον* und andre zuviel Zeichen haben. Dass der Raum unbenutzt blieb, liesse sich daraus schliessen, dass der Steinmetz auch Z. 6 nach |*οι* drei Zeichenplätze überging, wohl, weil sie ihm ungeeignet, bröcklich erschienen, und dass der Stein nach *Καλλικλῆς* wieder eine Lücke hat, vielleicht beim Einmeisseln aussprang, weshalb der Steinmetz eine Zeile tiefer fortfuhr. So würde sich erklären, dass die Zeilen 6—8 gegen Z. 1—5 so klein sind. Auffällig ist, dass darin kein Priester, kein Archont genannt wird.

Zeit. Priesterschaft II: December/Januar 192/191.

1990 *W.-F.* 325. C. v. B.

Στραταγέοντος Ἀλεξάνδρου Κα[λ]υδωνίου | τὸ δεύτερον μηνὸς Ἀγυείου, ἐν δὲ Δελ[φ]ο[ῖς] ἄρχοντ|ος Ὀρθαίου τοῦ Μαντία μηνὸς Ἡρακλείου, ἀπέδοτο |Ἄλεξις, συνευδοκέοντος τοῦ υἱοῦ Ξενία, Ἀμφισσεῖς || τῶ Ἀπόλλωνι ⟨ἐπὶ τοῖσδε⟩ τῶι Πυθίωι σῶμα ἀνδρεῖ|ον ὧι ὄνομα Νίκανδρος τὸ γένος Λάκων, καθὼς ἐπίσ|τευσε Νίκανδρος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύ|θερος εἶμεν, τιμᾶς ἀργυρίου μνᾶν τ[ε]τ(τ)άρων. | προαπέδοτο κατὰ τὸν νόμον Ξενέας Θευτίμο[υ]. || μάρτυροι· Δελφοὶ Ἀρχέλαος, Ξεν[ο]-κρά[τ]ης, | Ἀρχέλαος, Εὐρύμαχος, Ἀθανίων, Ἀμφισ|σεῖς Φίλων, Σωσίπολις, Κρατῖνος.

W.-F. Z. 1 *Καλυδωνίου.* — 2 *Δελφοῖς.* — 6/7 *ἐπί|στευσε*, aber Z. 6 schliesst mit Σ. — 8 *τετάρων;* vgl. *τεττάρων* 1686, 5; 1795, 3; 1796, 2; 1847, 4; 1892, 4; 2031, 4. — 9 *Θευτίμου.* — 10 *Ξενοκράτης.* — Z. 4 *Ἀμφισσεῖς* wie 1895, 3 *Ἡρακλεῶται.* — Z. 5 hängt die unnatürliche Stellung von *ἐπὶ τοῖσδε* mit einem Versehen des Steinmetzen zusammen, deshalb

setzte ich die Wörter in ⟨ ⟩. — Wegen *προαπέδοτο* Z. 9 vgl. 1842 Anm. — Wie in No. 1989, steht hier unter den Namen der Zeugen kein Priester, kein Archont, und zweimal ohne Zusatz *Ἀρχέλαος*.

Zeit. Priesterschaft II: Mai/Juni 195.

1991 *W.-F.* 326. C. v. B.

Ἄρχο[ν]τος Κλεοδάμου τοῦ Πολυκλείτου μηνὸς Βυσί[ου], ἐπὶ τοῖσ|δε ἀπ[έδ]οτο Αἰακίδας Φιλαιτώλου Δελφὸς τῶι Ἀπόλλωνι | τῶι Πυ[θ]ίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Πυῤῥίας τὸ γένος Λυ[δ]|όν, τιμᾶς ἀργυρίου μ[ν]ᾶν τριῶν, καθὼς ἐπ[ί]στευσε Πυ[ῤ]|ῥίας τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν κ|αὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, [π]οέων | ὅ κα θέλη. βεβαιωτὴρ κατὰ τὸν νόμον· Δαμένης | Ὀρέστα, Πραξία[ς Ε]ὐδόκου Δελφοί. μάρτυρες· τοὶ | ἱερεῖς Ξένων, Ἄθαμβος καὶ τοὶ ἄρχοντες ‖ Ἧρυς Εὐδώρου, Ξενοκράτης Πραόχου· Ἁγί|ων, Δίων, Φαῖνις.

W.-F. Z. 1 *ἄρχοντος*, dann *Βυσίου*. — 2 *ἀπέδοτο*. — 3 *Πυθίωι*. — 3/4 *Λυδ|όν*. — 4 *μνᾶν*, dann *ἐπίστευσε*. — 4/5 *Πυῤ|ῥίας*. — 6 *ποιῶν* st. *ποέων*. — 7 *βεβαιωτῆρες*. Der Stein hat aber den Singular. So auch, obwohl 2 Namen folgen, 1743, 4/5; ähnlich *ἱερεύς* 1967, 12/13. — *Ἁγίων* ist nicht der dritte Archont (dieser h. *Ὀρθαῖος*), sondern Privatzeuge.

Zeit. Priesterschaft II: Februar/März 187.

1992 *W.-F.* 327. C. v. B.

Ἄρχοντος Δαμο|σθένεος μηνὸς | Ἡραίου, ἐπὶ τοῖσδε | ἀπέδοτο Διόδωρος ‖ Μνασιθέου Δελφὸς | τῶι Ἀπόλλωνι τῶι Πυθί|ωι σῶμα ἀνδρεῖον ὧι ὄ|νομα Ἀγάθων τὸ γένος | Μαιώταν, τιμᾶς ἀργυρί‖ου μνᾶν τεσσάρων καὶ ἡ|μιμναίου, καθὼς ἐπίστευ|σε Ἀγάθων τῶι θεῶι τὰν ὠνάν, | ἐφ' ὧιτε ἐλεύθερον εἶμεν | καὶ ἀνέφαπτον ἀπὸ πάν‖τιων τὸν πάντα βίον, ποιέων | ὅ κα θέληι. βεβαιωτὴρ κατὰ | τὸν νόμον· Χαρίξενος Ἀμυ|νέα Δελφός. μάρτυρες· τοὶ ἱε|ρεῖς Ξένων, Ἄθαμβος καὶ ἰδι‖ῶται Καλλίας Ἐμμενίδα, | Κρατίδας Φειδία, Καλλίκων | Εὐκράτεος.

W.-F. Z. 10/11 *καὶ | ἡμιμναίου*. — 21/22 *Καλλίκων | Δεξικράτεος*. Der Mann ist ja aber mehrfach (1697, 2; 1698, 2) als Sohn des *Εὐκράτης* bezeugt, und es steht auch wirklich Z. 22 *Εὐκράτεος* auf dem Steine.

Zeit. Priesterschaft II: October/November 182.

1993 *W.-F.* 328. C. v. B.

Στραταγέοντος Ἀλεξάνδρου Καλυδωνίου τὸ δεύτερον μηνὸς |

Ἀγυείου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ὀρθαίου τοῦ Μαντία μηνὸς Ἡρακλείου, | ἐπὶ τοῖσδε ἀπέδοντο Διονύσιος, Σώπολις οἱ Ἀσάνδρου Πλυ[(γ)]ο⟨οο⟩νεῖς | Ἁρμονίαν τὸ γένος Λακεδαιμονίαν τῶι Ἀπόλλωνι τῶι Πυθίωι, ἀργυρίου ‖ μνᾶν δέκα, καθὼς ἐπίστευσε Ἁρμονία τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὰν | ἐλευθέραν εἶμεν, ποέουσαν ὅ κα θέλῃ. βεβαιωτῆρες κατὰ τὸν νόμον· | Μελάνθιος, Ἀγοραῖος Ὑπαταῖοι. μάρτυροι· Ξένων Βούλωνος, Ἄθαμβος | Ἀγάθωνος οἱ ἱερεῖς· Παρνάσσιος· Καλλίκων, Ὀρθαῖος, Δαμοχάρης | Δελφοί, Λέων Ἴσιος, Λεοντομένης Βούττιος.

W.-F. Z. 3 *Πλυγονεῖς,* Stein ΠΛΥΠΟΟΟΝΕΙΣ, nach *οἱ Ἀσάνδρου,* vgl. 1899, 2. — Z. 8 ist nach den Priestern der *γραμματεύς* des 2. Semesters genannt, s. 2012, 2; 2080, 2; möglich ist, dass *Ὀρθαῖος* Z. 8 der *ἄρχων ἐπώνυμος* ist, vgl. zu 2022. — Im zweiten Worte der Inschrift sind 2 Zeichen verletzt, sonst ist die Erhaltung tadellos.

Zeit. Priesterschaft II: Mai/Juni 195.

1994 *W.-F.* 329. C. v. B.

Στραταγέοντος Δικαιάρχου Τριχονέος τὸ πρῶτον μηνὸς Εὐθυαίου [ὡ]ς Αἰτωλοὶ ἄγοντι, | ἐν Δελφοῖς δὲ ἄρχοντος Διοδώρου τοῦ Μνασιθέου μηνὸς Ἀμαλίου, ἀπέ[δ]οτο Καλλικλῆς Δελφὸς | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Παρθενὶς τὸ γένος ἐχ Χαλκίδος, ἀργυρίου | μνᾶν πέντε, καθὼς ἐπίστευσε Παρθενὶς τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὰν ἐλευθέραν εἶμεν, ποέουσαν ‖ ὅ κα θέλῃ. βεβαιωτῆρες ἐπὶ τούτοις κατὰ τὸν νόμον καὶ τὰν συμβολάν· Λύκωπος Ἀμφισσεύς, | Μένων Δελφός. μάρτυρες ἐπὶ τούτοις· ἱερεὺς Ἄθαμβος, ἄρχοντες Δίων, Καλλικράτης, ἰδιῶται Ἧρυς, | Κράτων, Ἰατάδας, Βούλων, Λύκων Δελφοί, Ἀγήσων, Εὔχειρος, Ἡράκων Ἀμφισσεῖς, Κρατῖνος Τριτεύς.

W.-F. Z. 1 *ὡς.* Vgl. 1843, 16/17. — 2 *ἀπέδοτο.* — Erhaltung also ziemlich gut, nur 2 Zeichen fehlen, nur 5 sind verletzt (in Z. 1, 2, 3, 6, 7). — Mit *ἐχ Χαλκίδος* vgl. *ἐγδαμείτω* 1801, 5; *ἐγδιδαξάτω* 1878, 17. — Singulär ist der Zusatz *ἐπὶ τούτοις* zur Formel nach *βεβαιωτῆρες* und *μάρτυροι* (vgl. 1995, 6); er correspondiert mit dem sonst vor *ἀπέδοτο* üblichen *ἐπὶ τοῖσδε.* Vollständig müsste es *β. τᾶς ἐπὶ τούτοις ὠνᾶς* heissen. Vgl. 2084, 12.

Zeit. Priesterschaft II: Januar/Februar 194.

1995 *W.-F.* 330. C. v. B.

Στραταγέοντος Δικαιάρχου Τριχονέος τὸ πρῶτον μηνὸς Ὁμολωΐου ὡς Αἰτωλοὶ ἄγοντι, | ἐν Δελφοῖς δὲ ἄρχοντος Διοδώρου τοῦ Μνασιθέου μηνὸς Βυσίου, ἀπέδοτο Λύκωπος | Ἀμφισσεὺς

τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Κοσσύφα τὸ γένος | οἰκογενῆ, τιμᾶς ἀργυρίου μνᾶν πέντε, ἐφ' ὧι αὐτὰν ἐλευθέραν εἶμεν (καὶ) ἀνέφαπτον, καθὼς ἐπίστευσε αὐτὰ τῶι θεῶι. βεβαιωτὴρ κατὰ τὸν νόμον· Ἀγήσων Στρομβίχου | Ἀμφισσεύς. μάρτυρες ἐπὶ τούτοις· ἱερεῖς Ξένων, Ἄθαμβος, ἄρχων Δίων, ἰδιῶται Νίκων, | Ἀριστόδαμος, Ξενόδοκος, Ἡράκων Ἀμφισσεῖς, Βούλων, Δαμοχάρης, Λύκων Δελφοί, | Διονύσιος Πλυγονεύς.

Diese Inschrift ist sehr gut erhalten; verletzt fand ich nur je 2 Zeichen in Z. 3 und 7, eins in Z. 5. — *W.-F.* Z. 4 [*καὶ*]. Der Steinmetz vergass das Wort, wie sie S. 311 anmerken. — Die Nummern 1994 und 1995 sind nur einen Monat aus einander, daher die Aehnlichkeit in der Datierung, im Formular (Z. 6); auch die Namen wiederholen sich zum Teil. — Für den Namen *Κοσσύφη* (d. i. Amsel) verzeichnet Pape-Benseler den Beleg: Philet. bei Ath. 13, 587. — Z. 5 fehlt das Objekt, wie 1705, 5; 1828, 5; 1865, 2 u. a.

Zeit. Priesterschaft II: Februar/März 194.

1996 *W.-F.* 331. C. v. B.

Ἄρχοντος Καλλικράτεος μηνὸς Ἀμαλίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἐχεσθένης Κρινο|λάου Σκαρφεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ζωΐλα οἰκο|γενῆ, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Ζωΐλα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι|τε αὐτὰν ἐλευθέραν εἶμεν καὶ ἀνέφαπτον τὸμ πάντα βίον, ποέουσαν ὅ κα θέ‖ληι. βεβαιωτῆρες κατὰ τὸν νόμον· Θεύξενος Δρομοκλείδα, Ἀθανίων Ἡρία. | μάρτυρες· ὁ ἱερεὺς Ξένων καὶ τοὶ προστάται Δίων, Νικόδαμος καὶ τοὶ | βουλευταὶ Γλαῦκος, Δεξικράτης, Καλλίας, ἰδιῶται Ἀνδρομένης, | Διονύσιος, Δίων, Εὐξίθεος.

Diese Inschrift zeigt noch verschiedene Spuren roter Farbe. Die Arbeit des Steinmetzen ist geradezu liederlich zu nennen. — *W.-F.* Z. 2. Le mot *μηνὸς* est répété au commencement de cette ligne (S. 311). — 4/5 *ἐπί|στευσε*, aber Jota steht auf Z. 5. — Z. 5 wurde der Steinmetz nach *|ιστε* durch das *ε* von *υσε* irre und schlug schon *MN* ein, corrigierte aber so, dass er unter Μ das Υ setzte und das Σ auf das falsche Ν; hierauf fuhr er mit ΕΜΝΑ° fort. — 6 *ἐφ' ὧιτε*. Das *τε* schlug der Steinmetz zweimal hinter einander ein; auf das zweite setzte er das Α von *αὐτόν*. — Z. 8 wollte der Steinmetz *ποιοῦσαν* einmeisseln. Mit ΠΟΙΟΥΣ kam er bis an ein Loch, auf dessen rechter Seite er ΤΑ einschlug, was die Aenderung des Σ in Ν zur Folge hatte. — 11 *μάρτυρες*. Der Steinmetz vergass *ρ* zwischen *α* und *τ* und setzte es nachträglich vor *α*. — *Οἱ ἱερεῖς* sieht auf dem Steine so aus: ΟΙΕΕΡ°. Vgl. 1984, 10. Der Steinmetz tilgte also die Querhasten des falschen Ε und suchte so Jota daraus zu machen. — 12 *Ξένων*, *W.-F.* ohne Angabe der Dittographie, ebenso in Z. 14. — Z. 15 lassen sie ganz weg. — 16 *παραμεινάτω δὲ*. — 18 *ποιῶν*. — Zu *τεττάρων* Z. 4 vgl. 1990, 8; zur Flexion *Νικόπολις* *°λει*, *°λιν* vgl. 1833, 3 den Genitiv *°λιος*. Es ist die der Maskulina auf *-ις*. Vgl. Pape-Benseler s. *Φιλῶτις* und *Χλῶρις*.

Zeit. Priesterschaft II: October/November 182.

2032 *W.-F.* 367. C. v. B.

[Ἄρχ]οντος ἐν Δελφοῖς Μαντία τοῦ Πολύ|ωνος μηνὸς Βοαθόου, ἐπὶ τοῖσδε ἀπέδοτο | Δαμ[όφιλ]ος Διονυσοδώρου Θηβαῖος τῶι Ἀπόλ|λωνι τ[ῶι] Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα || Καρίων, τιμᾶς ἀργυρίου δραχμῶν Αἰγιναίων χιλί|ων ἑκατὸν πεντήκοντα, καὶ τὰν τιμὰν ἔχει πᾶσαν, κα⟨κα⟩θὼς ἐπίστευσε Καρίων τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε | ἐλεύθερος εἶναι καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάν|τα βίον, ποιέων ὃ ἂν θέλῃ. βεβαιωτῆρες κατὰ τὸν νόμον· || Χαρίξενος Ἀμυνέα, Μνάσων Ξένωνος Δελφοί, | Ἀγαθοκλῆς Ἀντιχάρους [R. f. 8—9 Z.]. *εἰ δέ τίς κα ἅπτηται | Καρίωνος φάμενος ὠνὰν ἔχειν, βέβαιον παρε|χόντω τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος Δαμόφιλος καὶ οἱ βεβαι|ωτῆρες· εἰ δέ κα μὴ παρέχωντι, πράκτιμοι ἐόντω κατὰ τὸν νόμον. ὁμοί||ως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόντω συλέοντες ὡς ἐλεύθε|ρον ὄντα ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. | μάρτυρες· τοὶ ἱερεῖς Ἀθ⟨αθ⟩αμβος, Ἀμύντας καὶ τοὶ ἄρχοντες Διόδωρος, Ξένων, | Σωσίνικος, ἰδιῶται Μαντίας Φιλαιτώλου, Παναίτωλος Φιλαιτώλου, Καλλίκων Εὐκράτους.*

W.-F. Z. 1 *ἄρχοντος.* — 1/2 *Πολύ|ωνος.* Das *ω* ist so undeutlich, dass man auch *Πολύ|[ω]νος* schreiben könnte. — 3 *Δαμόφιλος.* — 4 *τῶι Πυθίωι.* — 6/7 *πᾶσαν, | καθώς,* ohne Angabe der Dittographie. — 11 nach *Ἀντιχάρους* nur 6 Punkte. — 17 Auf die Dittographie in dieser Zeile verweisen sie S. 311. — Z. 12 bedeutet *ὠνά* das durch Kauf erworbene Eigentumsrecht (vgl. 1746, 4). — Bemerkenswert ist die Angabe des Preises in äginetischer Münze und die Beimischung von Atticismen (Z. 5 ,8, 9, 11; vgl. 1766, 5 und 7).

Zeit. Priesterschaft III: September/October 180.

2033 *W.-F.* 368. C. v. B.

Στραταγέοντος τῶν Φωκέων Πολυξένου Τειθρωνίου, ἐν δὲ Δελφοῖς ἄρχοντος Πραξία, βου|λευόντων τὰν δευτέραν ἑξάμηνον Καλλία, Δαμένεος, Βαχχίου, μηνὸς ὡς Φωκεῖς ἄγοντι Ἀφαμίου, ὡς δὲ | Δελφοὶ ἄγοντι Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Νίκαρχος Λιλαιεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμ(α) ἀνδρεῖ|ον ὧι ὄνομα Κάλλων, τιμᾶς ἀργυρίου μνᾶν τριῶν καὶ ἡμιμναίου, καθὼς ἐπίστευσε Κάλλων τῶι θεῶι || τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα βίον, ποιέων ὅ κα θέλῃ καὶ ἀπο|τρέχων οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον καὶ τὰν συμβολάν· Εὔδαμος Ἐπι-

χαρίδα Λιλαιεύς. μάρτυρες· ὁ ἱε|ρεὺς Ἄθαμβος· Ἀριστόμαχος Ἀριστωνύμου, Ἀριστόμαχος Ἀρίστωνος, Ὀρθαῖος Χάρητος, Μενεκράτης Σωτηρίδα, Μένων Φίλω|νος καὶ ὁ νεωκόρος Καλλίκων.

W.-F. Z. 2 *Βακχίου.* — 3 *σῶμ[α] ἀνδρεῖ|ον,* mit der Bemerkung S. 311: *Inscr.* ΣΩΜΑΝΔΡΕΙ. Die Lesung *σῶμ' ἀνδρεῖον* würde in diesen Denkmälern keine Analogieen haben. — 8 *[καὶ ὁ ν]εωκόρος*, aber die eingeklammerten Zeichen sind klar, nur *ε* ist beschädigt. — Zu *ἄγοντι* vgl. 1843, 16/17.

Zeit. Priesterschaft III: Juni/Juli 177.

2034 *W.-F.* 369. C. v. B.

Ἄρχοντος [Ν]ικοβούλου μηνὸς Βουκατίου, ἐπὶ τοῖσδε ἀπέδοτο Νεοπάτρα Ὀρθαίου | Δελφὶς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώματα γυναικεῖα δύο αἷς ὀνόματα Ζωπύ|ρα, Σωσίχα, τιμᾶς ἀργυρίου μνᾶν ἕξ, καθὼς ἐπίστευσαν Ζωπύρα, Σωσίχα τῶι | θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρας εἶμεν καὶ ἀνεφάπτους ἀπὸ πάντων τὸμ ‖ πάντα βίον βεβαιωτὴρ κατὰ τὸν νόμον· Δαμένης Ὀρέστα Δελφός. παραμε[ι]νάν|των δὲ Ζωπύρα, Σωσίχα παρὰ Νεοπάτραν ἄχρι κα ζώηι Νεοπάτρα ποέουσαι | τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως· εἰ δέ τί κα μὴ ποιέωντι | Ζωπύρα ἢ Σωσίχα τῶν ποτιτασσομένων ὑπὸ Νεοπάτρας καθὼς | γέγραπται δυναταὶ οὖσαι, ἐξέστω Νεοπάτραι κολάζειν καθὼς ‖ κα αὐτὰ δείληται καὶ ἄλλωι ὑπὲρ Νεοπάτραν ἀζαμίοις ὄντοις καὶ ανυ|ποδίκοις πάσας δίκας καὶ ζαμίας. εἰ δέ τί κα πάθηι Νεοπάτρα, ἐλεύθεραι | ἔστων Ζωπύρα καὶ Σωσίχα κυριεύουσαι αὐτοσαυτᾶν καὶ ποέουσαι ὅ κα θέλων|τι, καθὼς ἐπίστευσαν τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται Ζωπύρας | ἢ Σωσίχας ἐπεί κα τελευτάσηι Νεοπάτρα, βέβαιον παρεχέτω ὁ βεβαιωτὴρ τῶι ‖ θεῶι τὰν ὠνὰν κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ἐόν|των συλέοντες ὡς ἐλευθέρας οὔσας ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι | πάσας δίκας καὶ ζαμίας. εἰ δέ τί κα ἀζετωθέωντι περὶ Νεοπάτραν πεπο|νηρευμέναι ἢ τῶν Νεοπάτρας ὑπαρχόντων τι, κύριοι ἐόντω οἱ ἐπίνομοι κολά|ζοντες αὐτὰς καθ' ὅ τι κα αὐτοῖς δοκῆι ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι ‖ πάσας δίκας. μάρτυρες· τοὶ ἱερεῖς Ξένων, Ἄθαμβος, τῶν ἀρχόντων Εὐκλείδας, | ἰδιῶται Ἱεροκλῆς, Χαρίξενος, Βάχχιος.

W.-F. Z. 1 *Νικοβούλου.* — 5 *παραμεινάν|των.* — 8 *Νεοπάτρα,* corrigiert in „Errata" S. 314. — 21 *Βάκχιος.* — Die ungewöhnlichen Formen aus dem delphischen Dialekte in Z. 10 und 17 fand ich bestätigt. — Ueber

den Passus in Z. 17 ff. handelte ich Stud. I, 248. Dort gewann ich durch Vergleichung von 2034, 17 mit 1819, 9 den Sinn von *ἀζετόω*, gab die Etymologie dieses Verbums und die Uebersetzung der Stelle: „Wenn sie aber überführt werden, sich irgendwie an der Neopatra oder an etwas vom Eigentume der Neopatra vergangen ⟨d. h. letzteres veruntreut⟩ zu haben, so sollen etc."

Zeit. Priesterschaft II: August/September 186.

2035 *W.-F.* 370. C. v. B.

Ἄρχοντος Νικοβούλου μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Πολέμων Ἀγα|σάνδρου Ἀμφισσεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖ|[ο]ν ἇι ὄνομα Ζωπύρα, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Ζωπύ|ρα τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων ‖ τὸμ πάντα βίον, ποέουσα ὅ κ[α] θέληι. βεβαιωτὴρ κατὰ ⟨ο⟩ τὸν νόμον· Εὐκλείδας | Θεοδώρου Δελφός. μάρτυρες· τοὶ ἱερεῖς Ξένων, Ἄθαμβος, τῶν δὲ ἀρχόν|των Εὐκλείδας, ἰδιῶται Μνάσων, Πειθαγόρας, Δαμοχάρης Δελφο[ί], | Ἀριστομένης, Δαμαίνετος, Φίλων Ἀμφισσεῖς.

W.-F. Z. 2/3 *γυναικεῖ|ον.* — 5 *τὸν* statt *τόμ*, dann *ὅ κα θέληι.* Nach *κ* ist der Stein beschädigt, und *α* muss man erraten. — Nach *κατὰ* scheint ein Omikron eingeschlagen worden zu sein. — 7 *Δελφοί.* — Ist der Bürge der Archont?

Zeit. Priesterschaft II: December/Januar 186/185.

2036 *W.-F.* 371. C. v. B.

Στραταγέοντος Ἀρχεδάμου τὸ τρίτον μηνὸς Ἀγυείου, ἐ[ν] Δελφοῖς δὲ ἄρ|χοντος Δαμοσθένεος μηνὸς Ἡρακλείου, ἐπὶ τοῖσδε ἀπέδοτο Εὔνικος | Εὐνίκου Ἀμφισσεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον | ἇι ὄνομα Ἐπιμελὴς τὸ γένος Θρᾶισσαν, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καθὼς ‖ ἐπίστευσε Ἐπιμελὴς τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλευθέρα εἶμεν | κα[ὶ] ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα βίον, ποέουσα ὅ κα θέληι. βε|βαιωτῆρες κατὰ τὸν νόμον καὶ τὰν συμβολάν· Ἀγήσων | Στρομβίχου Ἀμφισσεύς, Δαμοχάρης Καλλείδα, Ὀρθαῖος Μαντία Δελ[φοί]. | παραμεινάτω δὲ Ἐπιμελὴς παρὰ Ἀγήσωνα ἄχρι κα ζώηι Ἀγήσ[ων] ‖ ποέουσα τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως· εἰ [δέ τί] | κα πάθηι Ἀγήσων, ἐλευθέρα ἔστω Ἐπιμελὴς κυριεύουσα αὐτοσαυτ[ᾶς καὶ] | ποέουσα ὅ κα θέληι καὶ ἀποτρέχουσα οἷς κα θέληι, καθὼς ἐ[πί]σ[τευσε] | τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται Ἐπιμελέος ἐπὶ κατα[δουλισμῶι] | τελευτάσαντος Ἀγήσωνος ἢ καὶ πρότερον,

βέβαιον παρεχό[ντων] ‖ τὰν ὠνὰν ὅ τε ἀποδόμενος Εὔνικος καὶ οἱ βεβαιωτῆρες Ἀγήσων, Δ[αμοχάρης], | Ὀρθαῖος κατὰ τὸν νόμον καὶ τὰν συμβολάν. ὁμοίως δὲ καὶ οἱ παρατυ[γχάνον]‖τες κύριοι ἐόντων συλέοντες ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ὄντ[ες καὶ] | ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· τοὶ ἱερεῖς τοῦ Ἀπό[λλωνος] | Ξένων, Ἄθαμβος, ἰδιῶται Ἀμύντας, Πραξίας, Καλλίας, Κράτων, Νικό[βου]‖λος, Ἀριστοκράτης Δελφοί, Λαμπρίας Καλλία, Ἀπολλόδωρος | Ἀμφισσεῖς.

W.-F. Z. 1 ἐν Δελφοῖς. — 6 |καὶ ἀνέφαπτος. — 8—19 geben sie zerstörte Zeilenschlüsse. Diese fand ich fast genau so, wie sie dieselben verzeichnen; nur ist Z. 12 etwas mehr (*W.-F.* ἐπίσ[τευσε]), Z. 15 etwas weniger weggebrochen (*W.-F.* [Δαμοχάρης]).

Zeit. Priesterschaft II: Mai/Juni 181.

2037 *W.-F.* 372. C. v. B.

Στραταγέοντος Ἀρχεδάμου | τὸ τρίτον μηνὸς Εὐθυαίου, ἐν Δελ|φοῖς δὲ ἄρχοντος Δαμοσθένεος μη|νὸς Ἀμαλίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀρί‖στων Ἐπηράτου Χ[α]λειεὺς τῶι Ἀπόλλω|νι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα | Πυῤῥίας, τιμᾶς ἀργυ[ρί]ου μνᾶν δύο, κα|θὼς ἐπίστευσε Πυῤῥία[ς] τῶι θεῶι τὰν | ὠνάν, ἐφ᾽ ὧιτε ἐλεύθερος εἶμεν καὶ ‖ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα βί|ον, ποέων ὅ κα θέληι. βεβαιωτῆρες κατὰ | τὸν νόμον καὶ τὰν συμβολάν· Εὐθύδα|μος Εὐθυμάχου Ἀμφισσεύς, Κριτόλα|ος Ἀγελάου Δελφός. μάρτυρες· τῶν ‖ ἀρχόντων Ἀστύοχος, ἰδιῶται Εὔβου|λίδας Ἀμφισσεύς, Ἀνδρόνικος, Ἄνδρων, | Ἧρυς, Δαμοχάρης Δελφοί.

Zu Z. 4. Nach dem M von Ἀμαλίου ist ein ο von einem Versehen übrig geblieben. — *W.-F.* Z. 5 Χαλειεύς. — 7 ἀργυρίου. — 8 Πυῤῥίας. — 10 τόμ, möglich auch τόν, so unklar ist das Zeichen. — Zu Z. 17. Ein Ἧρυς ist neben Ἀστύοχος (Z. 15 — und Σωδαμίδας) Archont.

Zeit. Priesterschaft II: Januar/Februar 181.

2038 *W.-F.* 373. C. v. B.

Ἄρχοντος Νικοβούλου μηνὸς Βουκατίου, ἐπὶ το[ῖσ]|δε ἀπέδοτο Μενέστας τῶι Ἀπόλλωνι σῶμα | γυναικεῖον ἇι ὄνομα Γνωσιφίλα τὸ γένος ἐξ | Σπερχειᾶν, τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων. ‖ βεβαιωτήρ· Χαρίξενος Ἀμυνέα. καθὼς ἐπίστευ|σε Γνωσιφίλα τῶι θεῶι τὰν ὠνάν. παραμεινά|τω δὲ Γνωσιφίλα παρὰ Μενέσταν ἄχρι κα ζώηι | ποέουσα τὰ δυνατὰ ἀνεγκλήτως. εἰ δέ κα πάθη τι Μενέ|στας, ἀποτρεχέτω ἐλευθέρα Γνωσιφίλα ὅπαι κα ‖ θέληι. μάρτυρες· τοὶ ἱερεῖς Ξένων, Ἄθαμβος

καὶ τοὶ | ἄρχοντες Εὐκλείδας, Ξενόστρατος, ἰδιῶ[τ]αι Δίων, | Κλεόδαμος, Δαμοχάρης, Εὐκράτης, Πολέμαρχος, Μέ[νη]ς.

W.-F. Z. 1 *τοῖς|δε.* — 11 *ἰδιῶται.* — 12 *Μένης.* Diese Zeile ist bis zum Rande benutzt. Die nächste Zeile bringt die nächste Nummer. — Beispiele zur Schreibung ΕΞΣΠ° Z. 3/4 s. Ditt. Syll. S. 782. Der Plural *Σπέρχειαι* ist bei griechischen Autoren nicht überliefert, wohl aber Liv. 32, 13 (circa Sperchias et Macran quam vocant Comen).
Zeit. Priesterschaft II: August/September 186.

2039 *W.-F.* 374. C. v. B.

Ἄρχοντος Πεισίλα μηνὸς Ἡρα[κ]λείου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀν[δρ]όνικος Πατ[ρέ]α Δελφὸς τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Βασίλιον τὸ γένος ἐξ Ἀ[ ]ας, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καθὼς ἐπί στευσε Βασίλιον τῶι θεῶι τὰν ὠνάν, (ὥστε) ἐλευθέραν εἶμεν καὶ ἀν[έφ]απ[τ]ον, ποέουσαν ὅ κα θέλη. βεβαιωτῆρες | κατὰ τὸν νόμον· Κλεόδαμος Κλέωνος, Σωδαμίδας Εὐαγ[γέλο]υ Δελ[φ]οί. μάρτυρες· τοὶ ἱερεῖς Ξένων, || Ἄθαμβος, ἰδιῶται Μνάσων, Ἀστύοχος, Ἀμειν[ί]ας.

W.-F. Z. 1 *Ἡρακλείου*, dann *Ἀνδρόνικος Πατρέα.* Der Genitiv des Archonten h. *Πεισίλα.* Die Namen auf °*λαος* wechseln in diesen Denkmälern öfters mit denen auf °*λας*; letztere sind wohl als eine Art Koseform anzusehen. 2054, 1 steht dafür *Πισιλάου.* Andere Beispiele s. 1713, 2; 1761, 8 und 1774, 8; 1884, 18; 1963, 8 und 1974, 9. — *W.-F.* Z. 2 *ἐξ Δ . . . . ας.* Die Menge der fehlenden Zeichen lässt sich wegen Ungleichheit der Schrift nicht genau bestimmen. Dass nach *ἐξ* an *Δ* nicht zu denken ist, sagen die Lautgesetze. Ich schrieb mir an den Rand: Ob *ἐξ Ἀ[θαμανί]ας*, wie 1987, 7/8, *Ἀ[μφίσσ]ας*, wie 2053, 5? — Z. 3 vor *ἐλευθέραν* habe ich — nach *W.-F.* S. 312 Note — (*ὥστε*) eingesetzt, weil an einen imperativischen Infinitiv (wie z. B. 1837, 6) wegen des Fehlens von *δὲ* nach *ἐλευθέραν* nicht gedacht werden darf. — *W.-F.* Z. 3 *ἀν[έφ]α[πτ]ον.* — 4 *Δελφοί.* — 5 *Ἀμεινίας.* — Ob der erste Bürge der Archont ist? — Die Zeile 5 ist nicht bis zu Ende benutzt.
Zeit. Priesterschaft II: Mai/Juni 186.

2040 *W.-F.* 375. C. v. B.

Ἄρχοντος Νικοβούλου μηνὸς Βοαθόου, ἐπὶ τοῖσδε ἀπέ[δοτο Ὀρ]θαῖος Χάρητος Δελφὸς τῶι Ἀπόλλωνι τῶι | Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Σκόπας, τιμᾶς ἀργ[υρί]ου μ[νᾶν] τεσσάρων, καθὼς ἐπίστευσε Σκόπας τῶι θεῶι | τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτ[ος ἀπὸ π]άντων τὸμ πάντα βίον, ποέων ὅ κα θέλη. βεβαιω|τῆρες κατὰ τὸν νόμον· Χαρίξενος Ἀμυνέα, Πεισ[ίλαος Νικο]δάμου Δε[λ]φοί. μάρτυρες· τοὶ ἱερεῖς

Ξένων, Ἄθαμ‖β[ο]ς, τῶν δὲ ἀρχόντων Δεξικράτης, ἰδιῶται Θεόδ[, Κ]αλλίας, Βάκχιος, Πράοχος, Δίων.

W.-F. Z. 1. Ihre Ergänzung *ἀπέ[δοτο Ὀρ]θαῖος* ist zweifellos richtig, wie 2026, 9; 2033, 7 und andre Stellen beweisen. — 2 *ἀργυρίου μνᾶν.* — 3 *ἀνέφαπτος ἀπὸ πάντων.* — 4 *Πεισί[στρατος Κλεο]δάμου,* dann *Δελφοί.* — 4/5 *Ἄθαμβος.* — 5 *Θεόδ[ωρος], Καλλίας.* — Zu Z. 4. Im Namen *Ξένων* vergass der Steinmetz anfangs das E, trug es aber später über der Zeile zwischen Ξ und N nach. Vgl. 2016, 8. — Im Gegensatz zu *W.-F.* habe ich Z. 4 *Πεισ[ίλαος Νικο]δάμου* einsetzen lassen, weil ich diese Persönlichkeit 3 Jahre später (1961, 10; 1976, 5) auch als Bürgen fungieren sehe, während ich einen *Πεισίστρατος Κλεοδάμου,* ebenso einen *Θεόδωρος* (Z. 5) in den Inschriften der nächsten Archontate nicht finde.

Zeit. Priesterschaft II: September/October 186.

2041 *W.-F.* 376. C. v. B.

Στραταγέοντος Ἀλεξομενοῦ μηνὸς Ἀθαναίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ἐμμενίδα μηνὸς | Ἡραίου, ἐπὶ τοῖσδε ἀπέδοτο Αἰακίδας Βαβύλου Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώματα | τρία οἷς ὀνύματα Σωτη[ρὶ]ς καὶ υἱὸς αὐτᾶς Ξένων καὶ θ[υ]γάτηρ Σωτώ, ἀργυρίου μνᾶν δώδε|κα. βεβαιωτῆρες κατὰ τὸν νόμον καὶ τὰν ὁμολογίαν· Ἀναξανδρίδας Χαιρεφάνευς, Ἁγίων ‖ Καλλικράτευς, Νικίας Ἀριστίωνος Δελφοί. παραμενέτω δὲ Σωτηρὶς καὶ Ξένων καὶ Σωτὼ | παρὰ Αἰακίδαν ποιέοντες τὸ ποτιτασσόμενον τὸ δυνατὸν ἄχρι κα ζώη Αἰακίδας· εἰ δέ | τί κα πάθη Αἰακίδας, τοῦ θεοῦ ἔστω Σωτ[η]ρὶς καὶ Ξένων καὶ Σωτώ, ἐλεύθεροι ὄν|τες κυριεύοντες αὐσ[α]υτῶν καὶ ποέοντες ὅ κα θέλωντι τ⟨ον⟩ὸν πάντα βίον, καθὼς | ἐπίστευσαν τῶι θεῶι τὰν ὠνὰν Σωτηρὶς καὶ Ξένων καὶ Σωτώ. βέβαιον δὲ παρεχόντω ‖ τῷ θεῷ τὰν ὠνὰν ὅ τε ἀποδόμενος Αἰακίδας καὶ τοὶ βεβαιωτῆρες κατὰ τὸν νόμον. | εἰ δέ τίς κα ἅπτηται Σωτηρίδος ἢ τοῦ υἱοῦ Ξένωνος ἢ τᾶς θυγατέρος Σωτοῦς, κύριοι ἔστων | οἱ ἀντιτυνχάνοντες συλέοντες ὡς ἐλευθέρων ὄντων, καθὼς ἐπίστευσαν τῶι θεῶι | τὰν ὠνά[ν], ἀζάμιοι ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. ταῦτα δὲ ἐγέ|νετο [ἀνά]μεσον τοῦ ναοῦ καὶ τοῦ βωμ[ο]ῦ. μάρτυροι· οἱ ἱερεῖς τοῦ Ἀπόλλω‖[ν]ος Ξένων Βούλωνος, Ἄθαμβος Ἀγάθωνος· Στράτων Βούλωνος, Νικόδαμος | Πισίλα, Ἁγίων Ἐκεφύλου, Ζηνέας Ἁγνία, Εὐάγγελος Μεγάρτα Δελφοί, Πράξων Πλεί|στωνος, Κρατίδας Οἰνάψιος, Ἡρακλείδας Περγαμηνός, Στράμβος Οἰνοαῖος.

W.-F. Z. 3 *Σωτηρὶς καὶ υἱός,* dann *θυγάτηρ.* — 7 *Σωτηρὶς καὶ Ξένων.* — 8 *αὐ[το]σ[α]υτῶν,* mit der Bemerkung auf S. 312: *Inscr.* Α.Σ.ΥΤΩΝ.

Das Letztere stimmt nicht; denn das *υ* nach *α* ist sichtbar. — 8 Ende *τὸν πάντα βίον*. Im Artikel misslang das *ον*, deshalb wiederholte es der Steinmetz. — 10 *οἵ* statt *τοὶ* vor *βεβαιωτῆρες*. — 11 Sie merken S. 312 an: *Σωτηρίδος*, oublié d'abord, a été gravé ensuite au-dessus de la ligne. — 13 *τὰν ὠνάν*. — 14 *ἀνάμεσον*, dann *βωμοῦ*. Vgl. zu diesem Passus 1953, 4/5; 2010, 13; 2011, 6. — 14/15 *Ἀπόλλω|νος*. — 17 *Κρατείδας* statt *Κρατίδας*. — Die Zeile 17 ist nicht bis zu Ende benutzt; dann folgt gleich die nächste Nummer. — Die Form *ὀνύματα* (Z. 3) ist sicher; vgl. 1703, 2; 1889, 4. — Die Vocale *εο* werden verschieden behandelt; sie bleiben, wenn sie den Accent haben (*στραταγέοντος* (Z. 1), *ποιέοντες* (Z. 6), *ποέοντες* (Z. 8), *συλέοντες* (Z. 12), *ἐόντες* (Z. 13) — vgl. dagegen z. B. 2011, 5 *ποιεῦντα*) —; sie werden in unbetonter Silbe *ευ* geschrieben (*Χαιρεφάνευς* (Z. 4), *Καλλικράτευς* (Z. 5). — Der Form *τοί* (Z. 10) steht Z. 14 *οἵ* gegenüber; inconsequent ist ja der Steinmetz auch sonst, vgl. *ποιέοντες* Z. 6 und *ποέοντες* Z. 8; Jota adscr. steht 7mal, fehlt 4mal. — Zum Genitiv *ὡς ἐλευθέρων ὄντων* Z. 12 vgl. 2049, 13. — Mit der Form *Μεγ-άρτα* Z. 16 vgl. Namen wie *Πυλ-άρτης*. — Unter den Zeugen nach den zwei Priesternamen ist ein *Ἁγίων* genannt. Ist dieser der Archont oder der Bürge? Ob auch *Πράξων* Z. 16 Ende? — Der letzte Name steht auch 1988, 10. Häufiger ist die Form *Στρόμβος*. *Στράμβ-ος*: *Στρόμβ-ος* = *λαμβ-άνω*: *λέ-λονβ-α* (kret.) = *λαγχ-άνω*: *λέ-λογχ-α*.

Zeit. Priesterschaft II: October/November 197.

2042 *W.-F.* 377. C. v. B.

Στραταγέοντος Ἀλεξομενοῦ μηνὸς Ἑρμαίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ἐμμενίδα μηνὸς Θεοξενίου, ἐπὶ τοῖσδε | ἀπέδοτο Ἀριστομένης Ἀμφισσεὺς Μήνιον τῶι Ἀπόλλωνι τῶι Πυθίωι τὸ γένος Λευκανόν, ἀργυρίου μνᾶν ἕξ, | καθὼς ἐπίστευσε Μήνιος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὸν ἐλεύθερον εἶμεν, ποιέοντα ὅ κα θέληι. βεβαιωτὴρ | κατὰ τὸν νόμον· Δωρόθεος Εὐξένου. τὰν τιμὰν ἀπέχει. μάρτυροι· Ξένων ὁ ἱερεύς· Νίκων Θευξένου, Δαμόξε||νος, Λύκος Νικομάχου, Μνασίλαος Εὐδαμίδα Ἀμφισσεῖς, Δάμων Ἀρίστωνος, Ἰατάδας Πάτρωνος, Καλλεί|δας Δαμοχάρεος, Ἡράκων Διοδώρου, Δαμοσθένης Ἀρχέλα Δελφοί.

Die Inschrift ist sehr gut erhalten. Z. 1 ist ein, Z. 5 sind 2 Zeichen verletzt. Um so auffälliger ist, dass *W.-F.* Z. 5 *Στράτωνος* statt *Πάτρωνος* geben. Diese Persönlichkeit gerade kommt ja so oft vor. Beide Namen stehen 1804, 1, wo er Freilasser, 1815, 12, wo er Archont, 1781, 6, wo er Zeuge ist. — In der Quittungsformel (Z. 4), asyndetisch (vgl. 1931, 4) angeschlossen, steht *ἀπέχει* wie 1840, 6; 1956, 3; 2028, 18. — Ob der Freilasser der Vater des Zeugen in 1917, 11 ist? Die Abfassungszeiten der Inschriften 2042 und 1917 sprechen nicht dagegen. Derselbe Mann wohl auch 2047, 8.

Zeit. Priesterschaft II: März/April 196.

2043 *W.-F.* 378. C. v. B.

Στραταγέοντος Ἀλεξομενοῦ μηνὸς Ἑρμαίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ἐμμενίδα μηνὸς Θεοξενίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Πάτρων Πελέος Πυκινὰν τῶι Ἀπόλλωνι τῶι Πυθίωι τὸ γένος Μεσσαπίαν, ἀργυρίου | μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Πυκινὰ τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὰν ἐλευθέραν εἶμεν, ποιέουσαν | [ὅ] κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον· Δωρόθεος Τιμασίου Ἀμφισσεύς. μάρτυροι· ὁ ἱερεὺς Ἄθαμβος· Ἀνδρό‖κριτος Εὐαγόρα, Κλεόδαμος Κλέωνος, Ξένων Γλαύκου Δελφοί, Εὐαίνετος Καλλιλάου, Θεοδωρίδας Φίλωνος | Πλυγονεῖς.

In Z. 4 ist das erste Zeichen ausgebrochen. *W.-F.* noch | *ὅ κα θέλῃ.* Sonst ist alles tadellos erhalten und so von *W.-F.* wiedergegeben. — Ueber das Ethnikon *Πελέος* (Z. 2) vgl. 1874, 13.

Zeit. Priesterschaft II: März/April 196.

2044 *W.-F.* 379. C. v. B.

Στραταγέοντος Ἀλεξομενοῦ μηνὸς Ἀγυείου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ἐμμενίδα μηνὸς Ἡρακλείου, ἐπὶ τοῖσδε ἀπέδο|το Πανσανίας Δαμαινέτου Ἀμφισσεὺς Ὀνασὼ τῶι Ἀπόλλωνι τῶι Πυθίωι τὸ γένος Λάκαιναν, ἀργυρίου μνᾶν | τριῶν, καθὼς ἐπίστευσε Ὀνασὼ τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὰν ἐλευθέραν εἶμεν, ποέουσαν ὅ κα θέλῃ. βεβαιωτὴρ | κατὰ τὸν νόμον· Κλέανδρος Χαριξένου Ἀμφισσεύς. μάρτυροι· Ξένων Βούλωνος ὁ ἱερεύς, Καλλίκων, Μνάσων ‖ Ξένωνος Δελφοί, Σώπολις Ἀσάνδρου Πλυγονεύς, Γοργίας Λακράτεος Λιλαιεύς, Διόδωρος Φιλάγρου Ἀμφισσεύς, | βουλευόντων Ταραντίνου, Πατρέα, γραμματεύοντος Ἥρυος το[ῦ] Εὐδώρου. ἁ ὠνὰ⟨..⟩ παρὰ Ξένωνα Δελφόν, Καλλικλῆ | Ἀμφισσῆ.

W.-F. Z. 6 *τοῦ Εὐδώρου.* — Nach *ἁ ὠνά* in derselben Zeile sind zwei dittographische Zeichen ausgeschlagen. Darauf schreiben *W.-F. παρὰ Μένωνα Δελφόν,* es steht aber *παρὰ Ξένωνα Δελφόν* da, was natürlich den Priester meint.

Zeit. Priesterschaft II: Mai/Juni 196.

2045 *W.-F.* 380. C. v. B.

Στραταγέοντος Ἀλεξομενοῦ μηνὸς Ἱπποδρομίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ἐμμενίδα μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε | ἀπέδοτο Ξουθίας Δαμοτίμου Πλυγονεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι

Ἡδίσταν τὸ γένος Βρεττίαν, ἀργυρίου | μνᾶν τριῶν καὶ ἡμιμναίου, καθὼς ἐπίστευσε Ἡδίστα τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτὰν ἐλευθέραν εἶμεν, ποέ|ουσαν ὅ κα θέληι. βεβαιωτῆρες κατὰ τὸν νόμον· Σέλευκος Ἐπινίκου, Μάχων Λοχάγου Πλυγονεῖς, Ἀρχέλαος || Πυθοφάνεος Δελφός. μάρτυροι· τοὶ ἱερεῖς Ξένων, Ἄθαμβος· Ἐμμενίδας, Ἀγίων, Πράοχος, Ἀρχιάδας Δελφοί, Σῶσος | Ξενοφῶντος, Λεοντομένης Φαινομάχου Πλυγονεῖς.

Bis auf das ε in ἐν (Z. 1) und das τ in μάρτυροι (Z. 5) steht noch alles klar auf dem Polygone. Die Wiedergabe bei *W.-F.* ist ganz korrekt. — Der erste unter den Zeugen nach den Priestern ist wohl der ἄρχων ἐπώνυμος, vgl. 1911, 8; 2022, 9; 2051, 11; 2080, 9; 2091, 16.

Zeit. Priesterschaft II: Juni/Juli 196.

2046 *W.-F.* 381. C. v. B.

Ἄρχοντος Νικοβούλου μηνὸς Ἡραίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀρίστων ⟨. . . . .⟩ Δάμωνος Δελφὸς τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα γυναικεῖον ᾆι ὄνομα Κλεὼ τὸ γένος Ἰλλυράν, τιμᾶς ἀργυρίου μνᾶν τριῶν· βεβαιωτὴρ κατὰ τὸν | νόμον· Ἀθανίων Δαμοκράτεος· ὥστε ἐλευθέραν εἶμεν Κλεώ, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. παραμει|νάτω δὲ Κλεὼ παρὰ Ἀθανίωνα ἄχρι κα ζώηι Ἀθανίων. μάρτυρες· τοὶ ἱερεῖς Ξένων, Ἄθαμβος καὶ τοὶ ἄρχον||τες Δεξικράτης, Εὐκλείδας, Ξενόστρατος.

W.-F. merken S. 312 zu Z. 1 an: entre Ἀρίστων et Δάμωνος, un mot est effacé. Es sind 5 Zeichen gewesen. — Sonst fand ich alles mit dem Texte von *W.-F.* übereinstimmend; verletzt ist nur je ein Zeichen in Z. 2 und 3. — Die Angabe über den Bürgen erscheint als eine Art Parenthese wie z. B. 1951, 5 ff. — Z. 2 ist nicht etwa an Ἰλλυρ(ί)αν zu denken; denn delphisch h. das Wort Ἰλλυρός. Vgl. 1810, 5.

Zeit. Priesterschaft II: October/November 186.

2047 *W.-F.* 382. C. v. B.

Στραταγέοντος Ἀρχεδάμου Φόλα τὸ τρίτον μηνὸς Ἱπποδρομίου, ἐν Δελφοῖς δὲ ἄρχοντος | Δαμοσθένεος μηνὸς Ἰλαίου, ἀπέδοτο Αὐτοκλῆς Δαμαινέτου Ἀμφισσεὺς τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα γυναικεῖον ᾆι ὄνομα Φίλα τὸ γένος Θρᾶισσαν, τιμᾶς ἀργυρίου μνᾶν | τριῶν, καθὼς ἐπίστευσε Φίλα τὰν ὠνὰν τῶι θεῶι, ἐφ' ὧιτε ἐλευθέραν εἶμεν καὶ ἀνέφα||πτον ἀπὸ πάντων τὸμ πάντα βίον, ποιοῦσαν ὅ κα θέληι. βεβαιωτῆρες κατὰ τὰν συμβολὰν | καὶ κατὰ τὸν νόμον· Ἡρακλείδας

Ἀμφισσεύς, Δαμοκράτης Δελφός. μάρτυρες· | Ἄθαμβος ὁ ἱερεύς, οἱ ἄρχοντες Σωδαμίδας, Ἧρυς· - Καλλίκων, Εὐκλείδας, Νίκων | Δελφοί, Ἀριστομένης, Εὐβουλίδας Ἀμφισσεῖς. ἁ ὠνὰ παρὰ Καλλίκωνα καὶ | Εὐβουλίδαν.

W.-F. merken S. 312 zu Z. 7 an: Entre *Ἧρυς* et *Καλλίκων,* un petit vide. Statt mit *ἰδιῶται* nach *Ἧρυς* fortzufahren, liess der Steinmetz freien Raum von der Grösse wie für ein Zeichen. Das ist seine Interpunktion (so auch z. B. 1697, 11; 1698, 7). Der 3. Archont war *Ἀστύοχος* (vgl. z. B. 2037, 15). Die Inschrift ist ausgezeichnet erhalten, verletzt nur je 1 Zeichen in Z. 1 und 8. Die Wiedergabe bei *W.-F.* fand ich correct.

Zeit. Priesterschaft II: Juni/Juli 181.

2048 *W.-F.* 383. C. v. B.

Στραταγέοντος τῶμ Φωκέων Πολυξένου | Τειθρωνίου, ἐν δὲ Δελφοῖς ἄρ[χ]οντος Πραξία, βου|λευόντων Μνάσωνος, Σωτίμου, Ἀμφιστράτου, μηνὸς | Δαιδαφορίου, ἐπὶ τοῖσδε ἀπέδοντο Ξένων, Πολυ‖κράτης Λιλαιεῖς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Δαμοκράτης, τιμᾶς ἀργυρίου | μνᾶν πέντε, καθὼς ἐπίστευσε Δαμοκράτης τῶι | θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλεύθερος εἶμεν καὶ | ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα βίον, ‖ ποέων ὅ κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον | καὶ τὰν συμβολάν· Πολύξενος Λεοντομένεος | Λιλαιεύς. μάρτυροι· οἵ τε ἱερεῖς Ἄθαμβος, Ἀμύν|τας, τῶν δὲ ἀρχόντων Μνάσων, Σώτιμος, ἰδιῶ|ται Λέων, Διόδωρος, Καλλικράτης Δελφοί, ‖ Ξένων Φίλωνος, Ἀντικράτης, Καλλικλέας Λιλαι|εῖς.

W.-F. Z. 2 *ἄρχοντος.* — Z. 9 ist nach *ἀνέφαπτος* dittographisches ⟨*απτος*⟩ wieder ausgeschlagen worden. — Zu Z. 15 sagen *W.-F.* S. 312: L' A de ΚΑΛΛΙΚΛΕΑΣ semble avoir été corrigé en Y. Il faudrait alors lire *Ἀντικράτης Καλλικλεῦς.* Diese Anmerkung beruht auf einem Versehen. Der Stein hat °ΚΛΕΑΣ ganz klar. Das ist ein nom. masc. wie z. B. böot. *Σω-κλίας* (GDJ 554, 15). Aus der Flexion °*κλέ-ης,* °*κλέ-ε-ος* u. s. w. entnimmt der Sprechende einen Stamm *κλε-* und bildet ihn weiter zu °*κλέ-ας,* wie *μαντι-* zu *Μαντί-ας.* Vgl. das Femininum *Κλέ-α* 1975, 3. — Zu beachten, dass die Sandhischreibung nur beim Artikel sich findet (Z. 1 *τῶμ Φωκέων*, Z. 9 *τὸμ πάντα,* vgl. dagegen Z. 3 *βουλευόντων Μνάσωνος, 7 μνᾶν πέντε*). — Ganz ungewöhnlich ist in diesen Denkmälern die Correlation von *τὲ — δέ,* wie wir sie Z. 12/13 lesen.

Zeit. Priesterschaft III: November/December 178.

2049 *W.-F.* 384. C. v. B.

Στραταγέοντος Ἀγήτα τὸ δεύτερον μηνὸς Ὁμολωΐου, ἐν Δελ-

φοῖς δὲ ἄρχοντος | Εὐαγγέλου μηνὸς Βυσίου, ἐπὶ τοῖσδε ἀπέδοντο Λέαινα Ἐμπέδωνος, Ἀριστόμαχος | Ἀρίστωνος Πλυγονεῖς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ὧι ὄνομα Σάτυρος, ἀργυρίου | μνᾶν τεσσάρων. βεβαιωτῆρες κατὰ τὸν νόμον καὶ τὰν ὁμολογίαν· Πύῤῥος Καλλιδάμου ‖ Ναυπάκτιος, Ἐμμενίδας Νικαίδα Δελφός. παραμενέτω δὲ Σάτυρος παρὰ Λέαιναν, καὶ Ἀριστόμαχον ἄχρι κα ζῶντι Λέαινα καὶ Ἀριστόμαχος. ἐπεὶ δέ κά τι πάθωντι Λέαινα | καὶ Ἀριστόμαχος, τοῦ θεοῦ ἔστω Σάτυρος κυριεύων αὐτοσαυτοῦ, ἐλεύθερος ὢν καὶ | ἀνέφαπτος τὸν πάντα χρόνον, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. βέβαιον δὲ παρε|χόντων τὰν ὠνὰν οἵ τε ἀποδόμενοι Λέαινα καὶ Ἀριστόμαχος καὶ οἱ βεβαιωτῆρες τῶι θεῶι· ‖ εἰ δέ κα μὴ παρέχωντι, πράκτιμοι ἐόντω τῶι θεῶι καὶ Σατύρωι καὶ τῶι ὑπὲρ τὸν θεὸν ἢ Σάτυρον θέλοντι πράσσειν αὐτοῦ καὶ τοῦ ἡμιολίου μνᾶν ἕξ· οἱ δὲ πράσσοντες ἀζάμιοι ἐόντω καὶ | ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. εἰ δέ τίς κα ἅπτηται Σατύρου τελευτασάντων Λεαίνας | καὶ Ἀριστομάχου, κύριοι ἐόντω οἱ συλέοντες ὡς ἐλευθέρου ἐόντος καὶ τοῦ θεοῦ ἀζάμιοι | ἐόντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. εἰ δέ τί κα ἐπικαλέωντι Λέαινα ἢ Ἀριστόμα‖χος Σατύρωι ἢ Σάτυρος ποτὶ Λέαιναν ἢ Ἀριστόμαχον, κριθέντων ἐν τοῖς ἱερέοις τοῦ Ἀπόλλωνος | καὶ ἐν Κρίτωνι Νικαίδα, καὶ ὅ τι κα οὗτοι κρίνωντι, κύριον ἔστω· εἰ δέ τί κα πάθη Κρίτων, ἄλλον | ἀνθελέσθων Λέαινα καὶ Ἀριστόμαχος καὶ Σάτυρος ὃν κα αὐτοὶ θέλωντι. ταῦτα δὲ ἐγένετο | ἀνάμεσον τοῦ ναοῦ καὶ τοῦ βωμοῦ. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Εὐκλῆς, Ξένων | καὶ τοὶ προσ(τά)ται Νικόδαμος, Κλέων· Ζηνέας Ἁγνία, Ἄθαμβος, Καλλίας Ἐμμενίδα, Δαμοχάρης ‖ Καλλείδα, Νικαγόρας Νικομάχου Δελφοί, Διονύσιος, Σώπολις Ἀσάνδρου, Ἁρμόδιος Πλυγονεῖς, | Δωρόθεος Εὐξένου Ἀμφισσεύς.

Die Inschrift ist ausgezeichnet erhalten, verletzt nur je ein Zeichen in Z. 3 und 12, 2 in Z. 1. Um so auffälliger ist, dass *W.-F.* Z. 18 statt *Εὐκλῆς* den Priester *Εὐκλείδας* gaben. Aber was A. Mommsen (Philol. XXIV p. 10) für diese Zeile verlangte, eben das fungierende Priesterpaar *Εὐκλῆς, Ξένων,* hat ja der Stein (so schon Pomtow, Beiträge zur Topographie von Delphi, 4 Anm. 2.). — Zu Z. 19 merken *W.-F.* S. 312 an: *Inscr.* ΠΡΟΣΤΑΙΤΑΙ. Das ist ein falscher Nachtrag. Auf dem Steine liest man nur ΠΡΟΣΤΑΙ, d. h. der Steinmetz vergass *τα*, also ist *προστά(τα)ι* oder *προσ(τά)ται* zu schreiben; *W.-F.* geben im Texte *προστά[τα]ι*. — Z. 21 hat nur die 3 Namen, der Rest der Zeile ist freigelassen. In der nächsten Zeile beginnt die nächste Nummer. — Parallelstellen zu Z. 10 und 11 sind

2006, 8; 2072, 9. — In Z. 13 erklärt sich der Genitiv *ὡς ἐλευθέρου ἐόντος καὶ τοῦ θεοῦ* am leichtesten, wenn man annimmt, dass der Steinmetz *οἱ ἀντιτυγχάνοντες συλέοντες* (vgl. z. B. 1918, 11; 1979, 13/14) in der Vorlage hatte, das erste Particip aber wegliess. Für die Auffassung als gen. absolutus (2006, 10; 2010, 11; 2041, 12) giebt vielleicht 2086, 10 ein Analogon. — Zu Z. 14 vgl. 1694, 9 ff.; zu Z. 17/18 vgl. 2010, 12; zu *προστάται* Z. 19 vgl. 1920, 15; 2072, 13.

Zeit. Priesterschaft I: Beginn unbekannt. Wahrscheinlich von kurzer Dauer. Bisher nur durch vier Inschriften aus drei Archontaten bezeugt. Reicht bis 198 vor Chr. Geb. Vgl. Pomtow, Fleckeisens Jhrb. 35, 514.

2050 *W.-F.* 385. C. v. B.

Στραταγέοντος Ἀλεξάνδρου Καλυδωνίου τὸ δεύτερον μηνὸς Δίου, ἐν Δελφοῖς δὲ | ἄρχοντος Ὀρθαίου μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοντο Ἐχεκλῆς, Μενὼι ἁ γυνὰ | Ἐχεκλέος Πλυγονεῖς Ἡράκλειαν τὸ γένος Λάκαιναν τῶι Ἀπόλλωνι τῶι Πυθίωι, | ἀργυρίου μνᾶν ἓξ στατήρων δεκαπέντε, καθὼς ἐπίστευσε Ἡράκλεια ‖ τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧι αὐτὰν ἐλευθέραν εἶμεν, ποιέουσαν ὅ κα θέ[λ]ηι. | βεβαιωτὴρ κατὸν νόμον· Πρόξενος Εὐθύλλου Ἀμφισσεύς. μ[ά]ρτυρες ὁ [ἱερ]εὺς | Ἄθαμβος· Ἄγρων Δελφός, Ἄρχων, Ἀντικλῆς, Ἀγέας Πλυγονεῖς, | Δαμοφάνης, Μένανδρος, Τολμίδας Ἀμφισ(σ)εῖς.

W.-F. Z. 2 *Μενὼ ἁ γυνά,* aber der Stein hat *Μενώι*, eine Form, die wir nicht antasten dürfen. Vgl. 2100, 2 *Φιλώι.* Die Notiz Herodians (2, 545), dass solche Formen *ι προσγεγραμμένον* hätten, ist durch inschriftliche Funde reichlich bestätigt worden, s. G. Meyer, Gr. Gramm. § 325. In Nummer 1705, 1/2 steht der Name ohne Jota. — 5 *θέληι.* — 6 *κα[τὰ] τὸν νόμον,* auf S. 312 mit der Bemerkung: *Inscr.* KATON. — 6 Ende *Μάρτυρες· ὁ ἱερεύς.* — 7 *Ἄθαμβος· Ἀγ . . . Δελφός.* Ich las *Ἄγρων* heraus und notierte mir dazu aus 1710, 16 *Βάκχιος Ἄγρωνος,* ein Beweis, dass der Name in Delphi üblich war. — 8 *Ἀμφισσεῖς,* aber der Stein hat *°ισεῖς,* wie oft in diesen Nummern (2053, 4; 11). — Bei der Zeitbestimmung haben wir zu beachten, dass zu *Ὀρθαίου* Z. 2 *τοῦ Μαντία* zu ergänzen ist.

Zeit. Priesterschaft II: December/Januar 196/195.

2051 *W.-F.* 386. C. v. B.

Στραταγέοντος Λυκίσκου Στρατίου μηνὸς Δίου, ἐν Δελ|φοῖς δὲ ἄρχοντος Πραξία μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσ|δε ἀπέδοντο Ἀρχέδαμος, Μένανδρος Διοτίμου Ἀμφισ|σεῖς σῶμα γυναικεῖον ἇι ὄνομα Ἀριστὼ τῶι Ἀπόλλω[νι] ‖ τῶι Πυθίωι, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, ὥστε ἐλευθέραν | εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸμ πάντα χρόνον, | καθὼς ἐπίστευσε τὰν ὠνὰν τῶι Ἀπόλ(λ)ωνι, διατρίβειν τε | Ἀριστὼ εἶ κα αὐτὰ θέληι.

βεβαιωτὴρ κατὰ τὰν συμβολάν· | Λύκος Νικομάχου Ἀμφισσεύς. μάρτυροι· [οἱ] ἱερεῖς || τοῦ Ἀπόλλωνος Ἄθαμβος, Ἀμύντας, ἰδιῶται | Χαρίξενος, Ξένων, Ἀνδρόνικος, Πραξίας | Δελφοί, Εὐτυχ[ίδα]ς, Καλλίας, Ξένανθος, | Ἀριστοκράτης Ἀμφισσεῖς.

W.-F. Z. 4 *Ἀπόλλωνι.* — 7 *Ἀπόλλωνι*, der Stein aber hat hier °*όλω*°, vgl. 1761, 4. — 9 *οἱ ἱερεῖς.* — 12 *Εὐτυχίδας.* — Der 4. Privatzeuge aus Delphi ist wohl der *ἄρχων ἐπών.* S. 2045 Anm. - Nach Z. 13 ist noch behauener, aber unausgefüllter Raum auf dem Polygone.

Zeit. Priesterschaft III: December/Januar 178/177.

2052 *W.-F.* 387. C. v. B.

Ἄρχοντος Ἀνδρονίκου μηνὸς Βοαθόου, βουλευόντων τὰν π[ρώ]|ταν ἑξάμηνον Εὐαγόρα, Καλλιμάχου, Εὐαγγέλου, ἀπέδοτο Δίων Ἀλέξω[νος] | τῶ[ι] Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ἀντιγόνα τὸ γένος Θρᾷισσαν, [τιμᾶς] | ἀργυρίου μνᾶν πέντε, καὶ τὰν τιμὰν ἔχει πᾶσαν. βεβαιωτὴρ κατὰ τοὺς νό[μους] || τᾶς πόλιος· Φίλων Ἀριστέα. βέβαιον δὲ παρεχέτω τῶι θεῶι ὅ τε ἀποδό[μενος] | Δίων καὶ ὁ βεβαιωτήρ. εἰ δέ τις ἐφάπτοιτο Ἀντιγόνας, κύριος ἔστω συλ[έων] | ὡς ἐλευθέραν οὖσαν καὶ ὁ παρατυχὼν ἀζάμιος ἐὼν καὶ ἀνυπόδικος πάσας δίκα[ς] | καὶ ζαμίας. μάρτυροι· Ἀμύντας ὁ ἱερεύς, Εὐαγόρας, Εὐάγγελος· Βούλων, Μικκίλος, | Φίλων, Ἀριστόβουλος, Ἡρακλείδας.

W.-F. sahen die Enden der Z. 1—7 noch vollständig. Jetzt ist das Stück weggebrochen, welches die oben eingeklammerten Zeichen trug. — 3 *τῶι Ἀπόλλωνι.* — 8 *Εὐαγόρας Εὐαγγέλου*, der Stein aber giebt zwei Nominative. Das sind die zwei Z. 2 genannten Archonten (vgl. 1825, 1). Unter den Privatzeugen wird ein *Φίλων* genannt, vielleicht derselbe, der Bürge ist. Vgl. 1922. — Z. 5 ist, wie öfter, das Objekt zu ergänzen dem Leser überlassen. Vgl. 1857, 6. — Die Z. 9 blieb zur Hälfte frei, dann folgt aus der grossen Liste der *πρόξενοι* (*W.-F.* 18) die Stelle 313 ff.

Zeit. Priesterschaft IV (170—157/6).

2053 *W.-F.* 388. C. v. B.

Στραταγέοντος Νικάνδρου τὸ δ|εύτερον μηνὸς Ἑρμαίου, ἐν Δελ|φοῖς δὲ ἄρχοντος Κράτωνος μηνὸς Θεοξενίου, ἀπέ|δοτο Καλλίμαχος Μνασιδάμου Ἀμφισ(σ)εὺς τῶι Ἀπόλλωνι || τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Σωσὼ τὸ γένος ἐξ Ἀμφίσσας, | τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε | Σωσὼ τὰν ὠνὰν τῶι θεῶι, ἐφ᾽ ὧ αὐτὰν ἐλευ|θέραν εἶμεν, ποιοῦσαν

ὅ κα θέλῃ. βεβαιωτὴρ | κατὰ τὸν νόμον· Πασῖνος Ἀμφισσεύς. μάρτυ|ρες· οἱ ἱερεῖς Ξένων, Ἄθαμβος· Δαμπρίας, Ἀλέξων, | Τιμάσιος, Πολύκριτος, Ἀριστομέ[ν]ης Ἀμφισ(σ)εῖς, | Λύκος, Σώτιμος, Ἀνδρόνικος. ἁ ὠνὰ παρὰ | Μνάσω[ν]α Δελφόν.

Z. 2 beginnt mit *εύτερον*, also ist die Wiedergabe bei *W.-F.* Z. 1/2 *δε|ύτερον* ungenau. Die Inconsequenzen des Textes suchen *W.-F.* durch Correcturen zu tilgen: sie geben Z. 4 *Ἀμφισσεύς*, Z. 11 *Ἀμφισσεῖς*, wo einfache Consonanz überliefert ist, mit °σσ° wie Z. 5, wo dies wirklich steht; sie geben Z. 7 nach *τῶι θεῶι* auch *ἐφ' ὧι*, während *ὧ* nur auf dem Steine zu lesen ist. Auch bei *θέλῃ* Z. 8 fehlt ja Jota. — *W.-F.* Z. 11 *Ἀριστομένης*. — 13 *Μνάσωνα*. — Der dritte von den delphischen Zeugen, *Ἀνδρόνικος*, ist wohl der Archont. — Unter Z. 13 ist der Rand des Polygons.

Zeit. Priesterschaft II: März/April 183.

2054 *W.-F.* 389. C. v. B.

Ἄρχ[οντο]ς Πισιλάου μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε | ἀπέ[δοτο] Φίδιον Εὐκλέος Δελφίς, συνεπαινεούσας | Εὐκλ[είας] τᾶς Δαμοκράτευς θυγατρὸς Δελφίδος, τῶι | Ἀπόλ[λω]νι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα Σωτήρι|χος, τιμᾶς ἀργυρίου μνᾶν δύο, καθὼς ἐπίστευσε Σωτή|[ριχ]ος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερον εἶμεν καὶ | [ἀν]έφαπτον ἀπὸ πάντων τὸν πάντα βίον, ποιέοντα ὅ κα θέ|λῃι. βεβαιω⟨ι⟩τῆρες κατὰ τὸν νόμον· Δαμοκράτης Καλλιγέ|νευς, Δίων Κλέωνος Δελφοί. μάρτυρες· οἱ ἱερεῖς τοῦ Ἀ|πόλλωνος Ξένων, Ἄθανβος καὶ τοὶ ἄρχοντες Ξένων, | Θεόφραστος, Ἀριστοτέλης, ἰδιῶται Πράοχος, Καλλίστρατος, Καλλικλῆς, Ἀριστόμαχος.

Die Zeilenanfänge in 1—4, 6 und 7 haben jetzt gelitten. *W.-F.* Z. 1 *ἄρχοντος*. — 2 *ἀπέδοτο*. — 3 *Εὐκλείας*. — 4 *Ἀπόλλωνι*. — 5/6 *Σωτή|ριχος*. — 7 *ἀνέφαπτον*. — Z. 8 ist das irrtümliche Jota in *βεβαιω⟨ι⟩τῆρες* über der Zeile zwischen *ω* und *τ* eingesetzt. Andere Beispiele der Art s. 1751, 1; 1819, 9. — *Φίδιον* ist gewiss soviel als *Φείδ-ιο-ν*. Vgl. dazu die Schreibung *Πισιλάου* in Z. 1. — Der 1. Bürge ist wohl der Gatte von *Φίδιον*.

Zeit. Priesterschaft II: December/Januar 187/186.

2055 *W.-F.* 390. C. v. B.

Ἄρχοντος Νικοβούλου μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέ|δοτο Πρόξενος Τιμασίου Φαλικαῖος τῶι Ἀπόλλωνι τῶι Πυθίωι | σῶμα γυναικεῖον ἇι ὄνομα Βοΐσκα καὶ τὸν υἱὸν αὐτᾶς Λυ|κίσκον, τιμᾶς ἀργυρίου μνᾶν ὀκτώ, καθὼς ἐπίστευσαν Βοΐσ|κα καὶ Λυκίσκος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε ἐλευθέρους εἶμεν | καὶ ἀνεφάπτους ἀπὸ πάντων τὸμ πάντα βίον, ποέον|τας ὅ

κα θέλωντι. βεβαιωτὴρ κατὰ τὸν νόμον· Κλεόδα|μος Εὐθυμάχου Ἀμφισσεύς. μάρτυρες· τοὶ ἱερεῖς Ξένων, | Ἄθαμβος, τῶν δὲ ἀρχόντων Εὐκλείδας, ἰδιῶται Ἀρχέ||λαος Πραόχου, Δαμοχάρης, Νικάνωρ Δελφοί, | Μνασίλαος, Ἀρίσταρχος Ἀμφισσεῖς.

Z. 5 ist das Σ der Bildungssilbe *-ισκο-* über IK in kleiner Gestalt nachgetragen. Ich fand alles tadellos erhalten, verletzt nur *μ* in *εἶμεν* (Z. 5) und *ς* in *Δαμοχάρης* (Z. 10). — Ueber *Φαλικαῖος* vgl. 2004, 12.

Zeit. Priesterschaft II: December/Januar 186/185.

2056 *W.-F.* 391. C. v. B.

Ἄρχοντος Ἀρχελάου μηνὸς | Θευξενίου, ἐπὶ τοῖσδε ἀπέ|δοτο Ξενοφάνεια Κλεοδά|μου, συνεπαινέοντος καὶ || τοῦ υἱοῦ Κλεοδάμου, σῶμα | γυναικεῖον ἇι ὄνομα Κλύτα, | τιμᾶς ἀργυρίου μνᾶν ἕξ, κα|θὼς ἐπίστευσε Κλύτα | τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι||τε ἐλευθέρα εἶμεν καὶ ἀνέ|φαπτος τὸμ πάντα βίον, | ποιέουσα ὅ κα θέλῃ. βεβαι|ωτὴρ κατὰ τὸν νόμον τᾶς | πόλιος· Εὐκράτης Καλλί||[κ]ωνος. μάρτυρες· ὁ ἱερεὺς | τοῦ Ἀπόλλωνος Ἀμύντας | καὶ τοὶ ἄρχοντες Ταραν|τῖνος, Καλλίας, Ἀρχέλα|ος, ἰδιῶται Ἄθαμβος || Ἀθανίωνος, Εὐκράτης | Καλλίκωνος, Γλα[ῦ]κος | Ἡρακ[λ]είδα.

W.-F. Z. 21 *Γλα[ῦκ]ος.* — 22 *Ἡρακλείδα.* — Sonst ist alles tadellos erhalten. Das *τ* im Anfange von Z. 7 ist lädiert. — Am Ende von Z. 5 hinter *σῶμα* und Z. 8 hinter *Κλύτα* fand ich eine Querhasta, die gewiss keinen andern Zweck haben soll, als die auf dem Steine rechts anstossende Nummer der Liste der *πρόξενοι* (*W.-F.* 18) als nicht zu 2056 gehörig abzuheben. — Unter Z. 22 ist noch behauener Raum bis zum Rande des Polygons. — Der Bürge wird auch hier (vgl. 1922) nochmals unter den Zeugen genannt.

Zeit. Priesterschaft III: März/April 174.

2057 *W.-F.* 392. C. v. B.

Ἄρχοντος Δαμοσθένεος τοῦ Ἀρχελάου μηνὸς Βουκατίου, ἐπὶ | τοῖσδε ἀπέδοτο Γοργία[ς Λ]ακράτεος Μεδεώνιος τῶι Ἀπόλλω|νι τῶι Πυθίωι σῶμ[α] ἀνδρεῖον ὧι ὄνομα Σωσίας, ἀργυ|ρίου μνᾶν ἕξ, καθὼς ἐπίστευσε Σωσίας τῶι θεῶι τὰν ὠ||νάν, ἐφ' ὧιτε ἐλεύθερ[ο]ν εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάν|⟨ν⟩των τὸν πάντα βίο[ν], ποιῶν ὅ κα θέλῃ. βεβαιωτὴ|ρ καττὸν νόμον· Ἀρχέ[λ]αος Θηβαγόρα Δελφός. | μάρτυρες· ὁ ἱερεὺς Ἄθανβος καὶ τοὶ ἄρχοντ|ες Πεισίλαος, Μαντίας, Κλεύδαμος, ἰδιῶται Λυσώ||ν, Σωτύλος, Φιλῖνος, Ὀρθαῖος, Ἀρισταίνετος |

Δελφοί, Μεγακλῆς, Δρωπίνας, Ἀσύλος Ἀμφ|ισσεῖς, Ξενοκράτ[η]ς Μεδεώνιος. ἁ ὠνὰ π|αρὰ Ὀρθαῖον Δελφόν, [Μ]εγακλῆ Ἀμφισσῆ.

Die Zeichen dieser Nummer sind nur eingeritzt. — *W.-F.* Z. 2 *Γοργίας* [*Δ*]*ακράτεος.* Vgl. 2044, 5. — 3 *σῶμα.* — 5 *ἐλεύθερον.* — 5/6 *πά|ντων,* ohne Angabe der Dittographie. — 6 *βίον.* — 7 *κατ[ὰ] τὸν νόμον,* auf S. 312 mit der Bemerkung: *Inscr.* KATTON. — 7 *Ἀρχέλαος.* — 10 Ende *Ἀρισταίνετο*[*ς*], aber *ς* ist klar. — 11 *Μεγακλῆς, Δίων, . . ασύλος.* Der Name *Δρωπίνας* ist aus Amphissa durch 1828, 8 bezeugt. — 12 *Ξενοκράτης.* — 13 *Μεγακλῆ Ἀμφισσ*[*ῆ*], aber *η* ist klar.

Zeit. Priesterschaft II: August/September 182.

2058 *W.-F.* 393. C. v. B.

Στραταγέοντος Νικάνδρου | Τριχονιέος τὸ τρίτον μηνὸς | Ἱπποδρομίου, ἐν Δελφοῖς δὲ | ἄρχοντος Μελισσίωνος ‖ μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀ|πέδοτο Νικόστρα[τ]ος Ἀλέξω|νος Ποταναῖος τῶι Ἀπόλ|λωνι τῶι Πυθίωι σῶμα ἀν|δρεῖον ὧι ὄνομα Πρωτέας ἐνδο‖γενῆ, τιμᾶς ἀργυρίου μνᾶν | τριῶν, καθὼς ἐπίστευσε | Πρωτέας τῶι θεῶ[ι] τὰν ὠνάν, | ἐφ' ὧιτε⟨ε⟩ ἐλεύθερος εἶμεν καὶ | ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάν‖τα χρόνον, ποέων ὅ κα θέλῃ. | βεβαιωτήρ· Δαμένης. | μάρτυρες· τοὶ ἱερεῖς Ἄθαμ|βος, Ἀμύντας καὶ τῶν ἀρ|χόντων Ἀνδρόνικος, Ἀρι‖στίων, ἰδιῶται Μαντίας, | Δαμοχάρης, Δαμοσθένης, | Νίκων.

W.-F. Z. 6 *Νικόστρατος.* — 12 *θεῶι,* man könnte vielleicht ein Restchen im Steine auf den Ansatz zum Jota beziehen. — 13 *ἐφ' ὧιτε ἐλεύθερος,* ohne des überflüssigen E zu erwähnen, was der Steinmetz selbst zu tilgen suchte. — Die Z. 22 enthält weiter nichts als den Namen *Νίκων.* Darunter ist freier, unbenutzter Raum von der Höhe 0,11. — Das Ethnikon *Ποταναῖος* z. B. auch 2072, 16.

Zeit. Priesterschaft III: Juni/Juli 176.

2059 *W.-F.* 394. C. v. B.

Στραταγέοντος Ἀλεξάνδρου | τὸ δεύτερον μηνὸς Ἑρμάου, ἐν δὲ Δελ|φοῖς ἄρχοντος (Ὀρθαίου τοῦ) Μαντία μηνὸς Θευξενίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Πολύστα⟨τα⟩ς Α‖?Λ! ! !.(.) *τῶι Ἀπόλ(λ)ωνι τῶι Πυθίωι Σωσὼ | καὶ τὰν θυγατέρα Σωσῶς⟨ως⟩ ἇι ὀνο|μα Ξενώ, ἀργυρίου μνᾶν ὀκτώ, καθὼ|ς αὐταὶ ἐπίστευσαν Σωσὼ καὶ Ξενὼ | τῶι θεῶι τὰν ὠνάν, ἐφ' οἷ αὐτὰς ἐλευ‖θέρας εἶμεν, ποιούσας ὅ κα θέλωντι|. βεβαιωτὴρ κατὰ τὸν νόμον· Ἀρίσ⟨ισ⟩τω|ν Ἐπηράτου Χαληεύ⟨ευ⟩ς. μάρτυροι· Βο|ύλων Ξένωνος, Ἀγάθων, Νικόδαμος, | Ἄθαμβος, Ὀρέστ[α]ς,* Λ. ΛΑΓΟΙΑΣ . . ΥΡΟΙΣ.

W.-F. geben: Z. 1 *Στραταγέοντος Ἀλεξάνδρου.* — 2 *τὸ δεύτερον μηνὸς Ἑρμαίου, ἐν Δελ[φοῖς]*|. — 3 *δὲ ἄρχοντος Μαντία μηνὸς Θευξενίου,* |. — 4 *ἐπὶ τοῖσδε ἀπέδοτο* [|. — 5 | .... *τῶι Ἀπόλλωνι τῶι Πυθίωι*|. — 6 *καὶ* ....|. — Auf S. 312 fügen sie die Bemerkung hinzu: Le reste de cette inscription est illisible.

Die Lesung dieser 14zeiligen Inschrift bietet grosse Schwierigkeiten. Vor dem Polygone stehend, setzte ich eine Abschrift auf. Daheim verglich ich diese mit einem Abklatsche. Dieser giebt, weil die Zeichen nur eingeritzt sind, trotz des dünnsten Papiers nicht alle. Die Zeichen sind ganz unregelmässig, die Zeilen nicht gerade, namentlich die ersten 10. — Vor *στραταγέοντος* (Z. 1) sehe ich auf dem Abklatsche noch ein *Σ*, was wohl das Ende einer Zeile von der Liste der *πρόξενοι* bildete, Z. 2 vor *τό*, wovon der Abklatsch *τ* undeutlich lässt, ein *N*, wohl gleichen Wertes wie *Σ* in Z. 1. Ob nach *Ἀλεξάνδρου* in Z. 1 noch etwas stand, lässt sich nicht sagen, da ein Bruch hinter der Endung beginnt. — In Z. 2 steht *Ἑρμάου.* So schrieb ich wenigstens ab, und aus dem Abklatsche ersehe ich auch nichts anderes. Es ist wie *ἀνδρέον* 1729, 5, *γυναικέον* 1969, 5 u. a. zu beurteilen. — Z. 3 schrieb ich ab |*φοῖς*. Der Abklatsch lässt davon gar nichts erkennen. A. Mommsen wies einst schon darauf hin, dass hier *Ὀρθαίου τοῦ* vor *Μαντία* vom Steinmetzen ausgelassen sei (vgl. 2012, 1). Ein Nachtrag über oder unter Z. 3 ist aus dem Abklatsche nicht zu erkennen. — 4 Für den Freilasser erkenne ich ΠΟΛΥΣΤΑΤΑΣ. Darin nehme ich eine Dittographie an. Deren begegnen im ganzen 4 (Z. 4, 6, 11, 12). Anfangs hatte ich dagegen Bedenken, weil ich das Wort nach diesem Freilassernamen nicht deuten konnte und glaubte, dass ich die Zeichen für die 2 Worte falsch bezöge. Bei wiederholter Prüfung aber blieb ich bei *Πολύστα⟨τα⟩ς*. Wegen der Bildung vgl. *Μενέ-στας, Μέ-στας*. — Z. 4/5 schrieb ich *Ἀ|θάνι(ο)ς* ab und merkte dazu an: Unsicher. Darin bestärkt mich der Abklatsch. Vom |*θ* sehe ich da gar nichts. Nach |?A sehe ich 3 senkrechte Hasten in etwa gleichem Abstande, deren Beziehung zu einander mir dunkel bleibt. Darauf ist ungefähr für 2 Zeichen noch Platz. Das 2. davon mag *Σ* gewesen sein. — Wegen *Ἀπόλ(λ)ωνι* vgl. 1761, 4. — 7/8 dieselbe Silbenzerreissung beim Zeilenübergange Z. 10/11 und 11/12. — Zur Form *Χαλῃεύς* vgl. 1908, 13; 1927, 3. — Z. 14 Ende schrieb ich ab: *Λυσαγοίας, Σκύρ[ιο]ς*. Beides befriedigt mich selbst nicht. Nach dem Abklatsche rate ich auf *Λυσαγόρας*. Soll man das zweite Wort *Σκύρθις* lesen und an *σκύρθαξ, σκυρθάλιος* anlehnen oder Versehen annehmen und *Σκύρ[ιο]ς* lesen, wie der Vater des Aegeus hiess? — Die Behörde ist durch keinen Namen vertreten. Der Bürge begegnete schon 2037, 4.

Zeit. Priesterschaft II: März/April 195.

2060 *W.-F.* 395. C. v. B.

Ἄρχοντος Ἀριστναινέτου μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσ|δε ἀπέδοτο Νίκων Νικιάδα Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυ|θίωι κορίδιον ἇι ὄνομα Εὐάνδρα, τιμᾶς ἀργυρίου μνᾶ|ν δύο, καθὼς

ἐπίστευσε Εὐάνδρα τῶι θεῶι τὰν ὠ||νάν, ἐφ᾽ ὧι ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀ|πὸ πάντων τὸν πάντα βίον, ποιοῦσα ὅ κα θέλ[η]. | παραμεινάτω δὲ Εὐάνδρα τὸ δέον ποιοῦσα Νίκωνι | ἕως κα ζῇ Νίκων, ἀνέγκλητος οὖσα καὶ ποιοῦσα τὸ δέον. | βεβαιωτῆρες κατὰ τὸν νόμον· Χαρίξενος, ||Ἀμύντας. οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος· μάρτυροι· Ξένων | Ἀτισίδα, Κλεύδαμος Κλέωνος, | Λέων Πυθέα.

W.-F. Z. 2 *Νικία* statt *Νικιάδα.* — 3, 4, 7 *Ἐχάνδρα,* aber die Freigelassene heisst *Εὐάνδρα.* — 6 *θέλη.* — 9 *Χαρίξενος* ....|, auf S. 312 dazu die Bemerkung: Après *Χαρίξενος,* un nom rayé. Weshalb der Name ausgeschlagen wurde, lässt sich nicht sagen. Nach der Ueberlieferung müssen wir *Ἀμύντας* zu den Bürgen rechnen; es ist vielleicht der eine Archont. Dagegen findet es sich nicht, dass die Priester als Bürgen verwandt werden. Also müssen wir nach *Ἀμύντας* Interpunktion setzen (*W.-F.* Z. 10 *Ἀμύντας οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος. Μάρτυροι· Ξένων*|) und annehmen, dass der Steinmetz aus Versehen *οἱ ἱερεῖς τοῦ Ἀπόλλωνος* eher als *μάρτυροι* einschlug. Priester aber sind *Ξένων Βούλωνος* und *Ἄθαμβος Ἀγάθωνος.* Ihre Namen fehlen, doch ist mir nicht unwahrscheinlich, dass sie in der Vorlage standen, das doppelte *Ξένων* aber, der Name des Priesters und der des ersten Privatzeugen, Anlass zum Irrtum gab. Nicht ganz sorgfältig war ja der Steinmetz auch in Z. 7/8. Dass die Vorlage zweimal in dem kleinen Sätzchen *ποιοῦσα τὸ δέον* gehabt haben sollte, scheint nicht recht glaublich; vielleicht ist *ἀνέγκλητος οὖσα ⟨καὶ ποιοῦσα τὸ δέον⟩* zu schreiben. — 12 [*Κλ*]*έων Πυθέα.* Sichtbar ist *Λέων Πυθέα.* Vor *Λέων* ist ein Bruch, der vor der Einmeisselung dagewesen zu sein scheint, und *Λέων Πυθέα* ist ja eine z. B. durch 1908, 13 bekannte Persönlichkeit.

Zeit. Priesterschaft II: December/Januar 183/182.

2061 *W.-F.* 396. Cauer 213. C. v. B.

Ἄρχοντος Δαμοσθένεος μηνὸς Βου[κ]ατίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Κλεοβούλα Δελφὶς τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Ζωπύρα (τὸ δὲ | πρότερον ἦν Σῖμον), τιμᾶς ἀργυρίου μνᾶν δύο, καθὼς ἐ||πίστευσε Ζωπύρα τῶι θεῶ, ἐφ᾽ ὧτε ἐλευθέρα εἶμεν καὶ | ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον, ποιοῦσα ὅ κα θέ|λη καὶ ἀποτρέχουσα οις κα θέλη. βεβαιωτῆρες κατὰ τὸν | νόμον· Δεξικράτης, Πεισίλαος Δελφοί. εἰ δέ τίς κα ἅπτηται | Ζωπύρας τᾶς πρότερον καλειμένας Σίμου, βέβαιον παρεχόν||τω τῶ θεῶ τὰν ὠνὰν ἅ τε ἀποδομένα Κλευβούλα καὶ οἱ | βεβαιωτῆρες Πεισίλαος, Δεξικράτης· εἰ δέ κα μὴ παρέχωντι, πρά|κτιμοι ⟨ε⟩ἐόντω κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχά|νοντες κύριοι ἐόντω συλέοντες ὡς ἐλευθέραν

οὖσαν | ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. - μάρ||τυρες· ὁ ἱερεὺς τοῦ Ἀπόλλωνος - Ἄθαμβος, οἱ ἄρχοντες | Πεισίλαος, Κλεόδημος· Διονύσιος Ἀρίστωνος Βοιώτι|ος, Καλλίκων, Ἀγασέας, Ἀριστίων Δελφοί.

W.-F. Z. 1 *Βουκατίου.* — 2 *Κλεοβούλα,* ebenso Z. 10. Aber an der letzteren Stelle steht *Κλευβούλα.* Aehnliche Beispiele 1722, 3 und 6; 1744, 1 und 6. — 12 *ἐόντω,* ohne Angabe der Dittographie. Der Steinmetz suchte das erste *ε* selbst zu tilgen. — 14 *ἀζάμιοι ὄντες.* Nach *ἀζάμιοι* ist zwar eine Lücke im Steine, so dass man an [*ἐ*]*όντες* denken könnte, sie scheint aber das *ε* nicht enthalten zu haben. — Z. 14 und 15. Nach *ζαμίας*, ebenso nach *Ἀπόλλωνος* ist ein kleiner freier Raum als eine Art Interpunktion. — Die Dative der 2. Declination sind so inconsequent behandelt, wie es oben die Z. 2, 3, 5, 10 haben. — Zur Form *καλειμένας* Z. 9 vgl. GDJ 1539b, 17; *ἀφαιρείμενος* 2082, 6; 2115, 8 u. a. — Auffällig ist Z. 16 der Atticismus *Κλεόδημος.* Vgl. 1823, 16 *Ἀριστόδημος.* — Bei *ἐπίστευσε* Z. 5 ist das Objekt zu supplieren wie 1705, 5; 1912, 6 u. a. — Der 2. Bürge ist wohl der Archont.

Zeit. Priesterschaft II: August/September 182.

2062 *W.-F.* 397. C. v. B.

Ἄρχοντος Μαντία μηνὸς Θευξενίου, ἀπέδοτο | Ἀλέξων Δελφός, συνευδοκεόντων τῶν υἱῶν | Χαριξένου, Δίωνος, τῶι Ἀπόλλωνι τῶι Πυ|θίωι σῶμα γυναικεῖον ἆι ὄνομα Δορκά[ς] || τὸ γένος Θρᾶισσαν, ἐπεὶ καὶ αὐ[τὰ] ἐπίστε[υ]|σε τῶι θεῶι, ὥστε ἐλευθέρα εἶ[μεν], τιμᾶς | ἀργυρίου μνᾶν τεσσάρων. β[εβαι]ωτ[ῆ]|ρες κατὰ τὸν νόμον· Βαβύλο[ς Αἰ]α|κίδα, Ἀγασέας Πολυτιμίδ[α. ἔστ]ω || δὲ ἁ ὠνὰ αὐτ[ᾶς] κυρία καὶ βέβαιος τῶι | θεῶι, ἐπεί κα Ἀλέξων τι πάθη. μάρτυροι· | Διόδωρος, Πολέμαρχος, Γλαῦκος, | Ταραντῖνος, Ἀρίστων, Ἁρμόδιος.

W.-F. Z. 2 *τῶν ὑῶν.* — 4 *Δορκάς.* — 5 *αὐτὰ ἐπίστευ|σε.* — 6 Ende *ε*[*ἶμε*]*ν,* ich sah *εἶ*[*μεν*] und dahinter noch *τιμᾶς,* was *W.-F.* weglassen. — 7/8 *β*[*εβαι*]*ωτῆ*|*ρες.* — 8 *Βαβύλο*[*ς Αἰα*]|*κίδα.* — 9 *Πολυτιμίδ*[*α· ἔστω*]|. — 10 *αὐτᾶς,* ich sah nur *αὐτ*[ ]. Die Parallelstelle 2064, 6/7 hat ΑΥΤΑ. Das ist wohl *αὐτᾶ(ς).* S. die Bemerkung daselbst. — 10 *βέβαι*[*ο*]*ς,* aber °*αιος* ist klar. — 12 *Γλαῦκος* weggelassen. — Nach Z. 13 unbehauener Rand des Polygons. — Z. 5 *ἐπίστευσε* ohne Objekt, s. vorige Nummer.

Zeit. Priesterschaft III: März/April 179.

2063 *W.-F.* 398. C. v. B.

Ἄρχοντος Δαμοσθένεος μηνὸς | [(Ἀ)]μαλίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀρίστι|ον Ἀρίστωνος Δελφὶς σῶμα γυναικεῖον | ἆι ὄνομα Δαμὼ τῶι Ἀπόλλωνι τῶι Πυ||θίωι, ἀργυρίου μνᾶν

τεσσάρων, καθὼς | ἐπίστευσε Δαμὼ τῶι θεῶι τὰν ὠ⟨ν⟩|νάν, ἐφ' οἶτε ἐλευθέρα εἶμεν καὶ ἀνέφα|πτος ἀπὸ πάντων τὸν πάντα βίον, ποι|οῦσα ὅ κα θέλη. βεβαιωτῆρες κατὰ τὸν ‖ νόμον· Δεξικράτης, Νεόστρατος. | μάρτυρες· οἱ ἄρχοντες Σωδαμίδας, | Ἧρυς· Ἀνδρόνικος, Καφησίας, [(Λ)]υκῖνος.

W.-F. Z. 2 *Ἀμαλίου,* S. 312 mit der Bemerkung: *Inscr.* ΟΜΑΛΙΟΥ. — 5 *καθ[ὼς]*, aber die eingeklammerten Zeichen sind klar, ebenso Z. 11, wo *W.-F. Σωδαμίδ[ας]* geben. — Z. 6/7 *ὠ|νάν,* ohne Angabe der Dittographie, die der Steinmetz allerdings zu tilgen suchte. — Das letzte Wort sieht auf dem Steine wie ΔΥΚ° aus. Es ist möglich, dass sich der Steinmetz versah, oder dass durch die Zeilenlinie, die zu stark vorgeritzt war, die Figur von Λ das Aussehen eines Δ erhielt. — Auf Z. 12 folgt eine brüchige Stelle, darunter unbenutzter Raum bis zum Rande des Polygons. — Ob Z. 12 *Καφ[(ι)]σίας*?

Zeit. Priesterschaft II: Januar/Februar 181.

2064 *W.-F.* 399. C. v. B.

Ἄρχοντος Μαντία μηνὸς Βυσίου, ἀπέδοτο | ⟨. . . . . . .⟩ Καφὼ τῶι Ἀπόλλωνι τῶ[ι] Πυθίωι σῶμα | γυναικεῖον ἇι ὄνομα Ζωπύρα, ἀργυρίου μνᾶν | τεσσάρων, ἐπεὶ καὶ ⟨τ⟩αὐτὰ ἐπίστευσε τῶι θεῶι, ‖ ὥστε ἐλ[ε]υθέραν εἶμεν. βεβαιωτὴ̣ρ κατὰ [τ]ὸν νόμον· | Δαμοκράτης Καλλιγένεος. ἔστω δὲ ἁ ὠνὰ αὐ|τᾶ(ς) κυρία καὶ βέβαιος τῶι θεῶι, ἐπεί κα Καφώ τι | πάθη. μάρτυροι· Πολυκράτης, Σωδαμίδας· Φαῖν|ις, Μενέστρατος.

W.-F. Z. 2 |*Καφώ,* auf S. 312 mit der Bemerkung: Avant *Καφώ,* un petit vide. Die Sache verhält sich so: Es ist ein Wort ausgeschlagen. Ich zählte 7 Zeichen. Soviel hat aber gerade das vorhergehende. Also wird bei der Zeilenwende der Steinmetz das Verbum zweimal eingeschlagen und die 2. Form nachträglich getilgt haben. — 2 *τῶι Πυθίωι.* — 4 *ἐπεὶ καὶ αὐτὰ ἐπίστευσε.* Der Stein hat aber ΤΑΥΤΑ. Dies *ταῦτα* zu lesen und als stellvertretend für das fehlende Objekt (s. 2061, 5; 2062, 5) *τὰν ὠνάν* anzusehen, empfiehlt sich wohl weniger als *⟨τ⟩αὐτὰ* zu schreiben, vgl. die Parallelen 2062, 5 u. a. — 5 *ἐλευθέραν,* dann *κατὰ τὸν νόμον.* — 6/7 *αὐ|τᾶς,* der Stein hat aber |ΤΑ, und eine Nachtragung von Σ über oder unter der Zeile ist nicht zu finden. Vgl. 2062, 10. — 8/9 *Φαί|νις* statt *Φαῖν|ις.* Die 2 Zeugen davor sind Archonten. — *Κάφ-ώ* (Z. 2) ist *ὑποκοριστικόν* zu *Κηφισώ, Κηφισοδώρα* u. ä. — Z. 9 ist nicht bis zu Ende benutzt; es folgt gleich No. 2065.

Zeit. Priesterschaft III: Februar/März 179.

2065 *W.-F.* 400. C. v. B.

Ἄρχοντος Μαντία μηνὸς Βυσίου, ἐπὶ τοῖσδε ἀπέδοτο Φιλοκράτης Θευφρά|στου Δελφὸς τῶι Ἀπόλλωνι τῶι Πυθίωι

σῶμ(α) ἀνδρεῖον ᾧι ὄνομα Ἀπολλώνιος τὸ | γένος Μυσός, τιμᾶ(ς ἀ)ργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Ἀπολλώνιος τῶι θεῶι | τὰν ὠνάν, ἐφ' ᾧι ἐλεύθερ(ο)ς εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάντα βίον. βεβαι||ωτῆρες κατὰ τὸν νόμον· Ἧρυς Πισιθέου, Δάμαρχος Εὐτυχίδα Μυανεύς. παραμει|νάτω δὲ Ἀπολλώνιος παρὰ [Φ]ιλοκράτη ἄχρι κα Φιλοκράτης ζώη ποέων τὸ ποιτασσόμ|⟨μ⟩ενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως· εἰ δέ τι μὴ ποέοι Ἀπολ[λ]ώνιο[(ς)] [τῶ]ν ποιτασ(σ)ομέν|ων ὑπὸ Φιλοκράτεος κα[θ]ὼς γέγραπται δυνατὸς ὤν, ἐξέστω Φιλοκράτει κολάζειν καθώς | ⟨καθώς⟩ κα αὐτὸς δείληται καὶ ἄλλωι ὑπὲρ Φιλοκράτη ἀζαμίοις καὶ ἀνυποδίκοις ὄντοις || πάσας δίκας ἢ ζαμίας. εἰ δέ τι πάθοι Φιλοκράτης, ἐλεύθερος ἔστω Ἀπολλώνιος κυριεύων | αὐτοσαυτοῦ καὶ ποιῶν ὅ κα θέλ[η], καθὼς ἐπίστευσε Ἀπολλώνιος τῶι θεῶι τὰν ὠνάν. | εἰ δέ τίς κα ἅπτηται Ἀπολλωνίου τελευτάσαντος Φιλοκράτεος, βέβαιον παρεχόντω | [ο]ἱ βεβαιωτῆρες τῶι θεῶι τὰν ὠνὰν κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ τοὶ παρατυγχάνον|τες κύριοι ἔστων συλέοντες Ἀπολλώνιον ὡς ἐλεύθερον ὄντα ἀζάμιοι ὄντες καὶ ἀνυ||πόδικοι πάσ[α]ς δίκας καὶ ζαμίας. - μάρτυροι· τοὶ ἱερεῖς Ἄθαμβος, Ἀμύντας· ἄρχοντες Πολυκρά-|της, Σωδαμίδας.

W.-F. Z. 2 *σῶμα ἀνδρεῖον,* Stein aber ΣΩΜΑΝΔΡ°. Vgl. 2033, 3. Wegen der Reihe von Versehen des Steinmetzen, die diese Anmerkung bespricht, haben wir hier eher *σῶμ(α) ἀνδρεῖον* als beabsichtigtes *σῶμ' ἀνδρεῖον* anzusetzen. — 3 *τιμᾶς ἀργυρίου,* Stein aber ΤΙΜΑΡΓ°. Es scheint so, als ob der Steinmetz versucht hätte, *ς* und dann *α* nachzutragen; also *τιμᾶ(ς ἀ)ργ°* und nicht *τιμ(ᾶς) ἀργ°*. — 4 *ἐλεύθερος,* Stein aber °ΘΕΡΣ. Vielleicht war ein kleiner Kreis, der Omikron darstellen sollte, zwischen Ρ und Σ gedrängt. — 6 *παρὰ Φιλοκράτη.* — 6 Ende *ποέων τὸ ποτιτασ[σ]όμε|νον.* Darin sind drei Fehler. Unrichtig ist auch ihre Bemerkung auf S. 312: *Inscr.* ΠΟΤΙΤΑΣΟΜΕ|. Z. 7 beginnt mit |⟨*μ*⟩*ενον.* In dieser Zeile steht nochmals dieses Particip. Da geben *W.-F.* *ποτιτασσομέν|ων,* also mit zwei Fehlern. Die Form *ποι°* begegnete schon 1721, 5; 1852, 15; 1870, 4. — 7 Ende *Ἀπολλώνιος,* Stein aber °ΝΙΟΝ, dann *τῶν.* — 8 *καθὼς.* — 8/9 *κολάζειν | καθώς κα,* ohne Angabe der Dittographie. — 10 *καὶ* statt *ἢ* vor *ζαμίας.* — 11 *θέλη.* — 13 |*οἱ βεβαιωτῆρες,* am Ende *οἱ παρατυγχάνον|τες,* aber an der zweiten Stelle hat der Stein *τοὶ* wie in Z. 15. — 14 *ἀζάμιοι ὄντες.* Der Steinmetz schlug nur ΟΝΤΕ ein und versuchte Σ über Ε nachzutragen, gab aber nur ∠. — 15 *πάσας δίκας,* Stein ΠΑΣ. Ueber Σ sieht man ein nachgetragenes Σ, über Α eine Lücke, in der nachgetragenes Α stand, aber verloren ging. — Nach *ζαμίας* ist kleiner freier Interpunktionsraum, vgl. 2061, 14 u. 15. — 15 Ende lassen *W.-F.* zwischen *Ἀμύντας* und *Πολυκρά|της* das Wort *ἄρχοντες* weg. — Die Z. 16

steht in der Mitte unter Z. 15, dann folgt eine unbehauene Stelle des Polygons. — Dass *Ἧρυς Πισιθέου* (Z. 5) Delphier ist, kann man hier erraten. Wir wissen es aus 1784, 7; 1727, 11; 1773, 12.

Zeit. Priesterschaft III: Februar/März 179.

2066 *W.-F.* 401. C. v. B.

Ἄρχοντος Κλεοδάμου τοῦ Πολυκλείτου μηνὸς Δαιδαφορίου, ἐπὶ τοῖσδε ἀπέδοτο | Καλλικράτεια Ἀρισταγόρα Δελφὶς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι | ὄνομα Σωστράτα, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Σωστράτα τῶι | θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸμ πάντα ‖ βίον. βεβαιωτῆρες κατὰ τὸν νόμον· Ἁγίων Καλλικράτεος, Ἀρισταγόρας Εὐθυδάμου | Δελφοί. παραμεινάτω δὲ Σωστράτα παρὰ Καλλικράτειαν ἄχρι κα ζώηι Καλλικράτεια | ποέουσα τὸ ποτιτασσόμενον πᾶν τὸ δυνατὸν ἀνεγκλήτως· εἰ δέ τί κα μὴ ποιῆι Σωστρά|τα τῶν ποτιτασσομένων ὑπὸ Καλλικρατείας καθὼς γέγραπτ[αι δυ]νατὰ οὖ|σα, ἐξέστω Καλλικρατείαι κο[λ]άζειν καθώς κα αὐτὰ δείληται καὶ ἄλλωι ‖ ὑπὲρ Καλλικράτειαν ἀζαμίοις ὄντοις καὶ ἀνυποδίκοις πάσας δίκας καὶ ζαμίας. | εἰ δέ τί κα πάθηι Καλλικράτεια, ἐλευθέρα ἔστω Σωστράτα κυριεύουσα αὐτοσαυτᾶς καὶ | ποέουσα ὅ κα θέληι, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. εἰ δέ τίς κα ἅπτηται Σωστρά|τας ἐπεί κα τελευτάσηι Καλλικράτεια, βέβαιον παρεχόντω οἱ βεβαιωτῆρες [τ]ῶι | θεῶι τὰν ὠνὰν κατὰ τὸν νόμον. ὁμοίως δὲ καὶ οἱ παρατυγχάνοντες κύριοι ‖ ἐόντων συλέοντες ὡς ἐλευθέραν οὖσαν ἀζάμιοι ὄντες καὶ ἀνυπό|δικοι πάσας δίκας καὶ ζαμίας. μάρτυρες· ὁ ἱερεὺ[ς] Ξένων, τῶν δὲ ἀρχόντων Πρα|[ξ]ίας, ἰδιῶται Δα[μ]οχάρης Καλλείδα, Χ[α]ρίξενος Ἀμυνέα, Εὐκλείδας Καλλείδα.

W.-F. Z. 8 *γέγραπται, δυνατά.* — 9 *κολάζειν.* — 13 Ende *τῶι.* — 16 *ἱερεὺς.* — 16/17 *Πρα|ξίας.* — 17 *Δαμοχάρης*, dann *Χαρίξενος.* — Mit *Καλλείδα* schliesst die letzte Zeile. Darunter sind 3 Zeilen freigelassen.

Zeit. Priesterschaft II: November/December 188.

2067 *W.-F.* 402. C. v. B.

Ἄρχοντος Κλεοδάμου τοῦ Πολυκλείτου μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο | Ξενοκράτης Ἀριστοδάμου Μεδεώνιος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖ|ον ἇι ὄνομα Κασία οἰκογενῆ, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Κασία | τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧιτε ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων τὸν πάν‖τα βίον, ποέουσα ὅ κα θέλῃ. βεβαιωτὴρ

κατὰ τὸν νόμον· Ἀρχέλαος Θηβαγόρα Δελφός. | μάρτυρες· τοὶ ἱερεῖς Ξένων, Ἄθαμβος καὶ τοὶ ἄρχοντες Π[ρ]α[ξ]ίας, Ἐτυμώνδας, | ἰδιῶται Πράοχος, Καλλίας Ἐμμενίδα, Δαμοχάρης Καλλείδα, Διωρόθεος Ξενία.

Die Worte *τῶι θεῶι* stehen in einer Stelle, in der vorher Zeichen getilgt wurden. — *W.-F.* Z. 6 *Πραξίας*. — Mit *Ξενία* schliesst die Zeile ab. Es folgen 5 vorgezogene, aber unbenutzte Linien. — Der Freilasser ist 2057, 12 Zeuge und hat denselben Bürgen, der 2057 fungiert.

Zeit. Priesterschaft II: December/Januar 188/187.

2068 *W.-F.* 403. C. v. B.

Στραταγέοντος Θόα τὸ δεύτερον μηνὸς Ἀθαναίου, ἐν Δελ|φοῖς δὲ ἄρχοντος Πειθαγόρα μηνὸς Ἡραίου, ἐπὶ τοῖσδε | ἀπέδοτο Καλλενίκα Δαμαινέτου Ἀνφισὶς Νικαίαν, Νικέαν, | Νικόστρατον τῶι Ἀπόλλωνι τῶι Πυθίωι, τὸ γένος Λάκαινα, || ἀργυρίου μνᾶν δώδεκα, καθὼς ἐπίστευσε Νικαία, Νικέας, | Νικόστρατος τῶι θεῶι τὰν ὠνάν, ἐφ' ὧι αὐτοὺς ἐλευθέ|ρους εἶμεν, ποιοῦντας ὅ κα θέλωντι. βεβαιωτὴρ κατὰ τὸν | νόμον· Πρόξενος Εὐθύλλου Ἀνφισεύς. μάρτυροι· Ξένων | Βούλωνος, Ἄθανβος Ἀγάθωνος οἱ ἱερεῖς, Πολυκράτης Δεξών||δα Δελφοί, Τιμοκράτης Ἀριστογίτονος, Κλεύμαχος Κυδρίω|νος Ἀνφισεῖ(ς), Νικάσιπος Καλλία, Στράτων Ἰσκέα Πλυγονεῖς, | βου(λευ)όντων Ἁβρομάχου τοῦ Εὐαγόρα, Εὐρυμάχου τοῦ Εὐρυδάμου, | γραματεύοντος Βαβύλου τοῦ Αἰακίδα. ἁ ὠνὰ πὰρ Ξένωνα τὸν | ἱαρῆ, πὰρ Κλε(ύ)μαχον Κυδρίωνος Ἀνφισῆ.

W.-F. ändern den Namen der Freilasserin aus *Καλλενίκα* (vgl. S. 312 die Anmerkung: *Inscr.* ΚΑΛΛΕΝΙΚΑ) in *Καλλ[ι]νίκα*. Diese Form *Καλλε°*- ist aber in der Namenbildung auch sonst überliefert und hat in den vom Vf. Stud. I. p. 62 angeführten Beispielen Analogien. Vgl. *W.-F.* 478, 1. — Zu *ἐπίστευσε* in Z. 5 merken sie S. 312 an: *Inscr.* ΕΠΙΣΤΕΦΣΕ. Es ist aber nicht Φ, sondern Υ ist sehr ungelenk (vgl. dasselbe Zeichen in *Ἡραίου* Z. 2 — im Drucke unausführbar —). — 11 *Ἀνφισεῖ[ς]*, Stein °ΣΕΙ. An den Dual ist wohl nicht zu denken. — Zu Z. 12 sagen sie S. 312: dans *βουλευόντων*, les lettres ΛΕΥ sont audessus de la ligne. Von dieser Nachtragung fand ich nichts. Es sieht so aus, als ob mit Λ der Anfang gemacht worden wäre. — 13 *γραμματεύοντος*, Stein ΓΡΑΜΑ°, und ich habe die einfache Consonanz wie auch in *Νικάσιπος* (Z. 11), *Ἀνφισὶς* (Z. 3), *Ἀνφισεῖ(ς)* (Z. 11) und *Ἀνφισῆ* (Z. 14) gelassen. Der Steinmetz archaisiert; das lehren besonders auch seine Schriftzeichen. — *W.-F.* ändern Z. 13 und 14 *παρ[ὰ]*, setzen aber S. 312 hinzu: *Inscr.* ΠΑΡ. S. 2077, 10. — 14 erkennen sie die Form *Κλέμαχον* nicht an, weil Z. 10 *Κλεύμαχος* steht. Sonst kommen ja solche vor, vgl. *Κλέθεμις* Mion. Suppl. III, 125 und die megarischen

Namen *Θέγειτος* u. a. Verf. Stud. I, 229. — Die Z. 14 ist nicht bis zu Ende benutzt, darunter z. T. (rechts) unbehauener Polygon, z. T. (links) eine neue Inschrift. — *Νικέας* und *Νικόστρατος* werden die Kinder von *Νικαία* sein. Das kann man auch daraus erraten, dass der Zusatz *τὸ γένος Λάκαινα* Z. 4 gemacht wird. Er steht nicht an der erwarteten Stelle, ist wohl für eine Art Nachtrag anzusehen und so construiert, als ob der sonst übliche Relativsatz mit dem Namen (*ᾧι ὄνομα Νικαία*) vorausginge.

Zeit. Priesterschaft II: October/November 194.

2069 *W.-F.* 404. C. v. B.

Στραταγέοντος Θόα τὸ δεύτερον μηνὸς Ὁμολωΐου, ἐν Δελφοῖς δὲ | ἄρχοντος Πειθαγόρα μηνὸς Βυσίου, ἐπὶ τοῖσδε ἀπέδοντο Καλλι|κράτης καὶ Τιμαγόρα Πλυγονεῖς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώματα | γυναικεῖα δύο αἷς ὀνόματα Ἀριστώ, Πλειστὼ καὶ ἀνδρεῖα δύο οἷς ‖ ὀνόματα Τιμάγορος, Τίμων, τιμᾶς ἀργυρίου μνᾶν δεκαέξ. βεβαι|ωτῆρες κατὰ τὸν νόμον καὶ τὰν συμβολάν· Πατρέας Δελφός, Λύ|κος Κάλλωνος Πλυγονεύς. παραμενόντων δὲ Ἀριστώ, Πλειστώ, | Τιμάγορος, Τίμων παρὰ Καλλικράτη καὶ Τιμαγόραν ποέοντες | τὸ ποτιτασσόμενον τὸ δυνατὸν ἄχρι κα ζώηι Καλλικράτης ‖ καὶ Τιμαγόρα. εἰ δέ τί κα πάθωντι Καλλικράτης καὶ Τιμαγόρα, | τοῦ θεοῦ ἔστων Ἀριστώ, Πλειστώ, Τιμάγορος, Τίμων, ἐλεύθεροι | ὄντες, κυριεύοντες αὐτοσαυτῶν καὶ ποιέοντες ὅ κα θέλωντι | τὸν πάντα βίον, καθὼς ἐπίστευσαν τῶι θεῶι τὰν ὠνάν. βέβαι|ον δὲ παρεχόντων τῶι θεῶι τὰν ὠνὰν οἵ τε ἀποδόμενοι Καλλι‖κράτης καὶ Τιμαγόρα καὶ οἱ βεβαιωτῆρες κατὰ τὸν νόμον καὶ | κατὰ τὰν συμβολάν. εἰ δέ τίς κα ἅπτηται Πλειστοῦς, Ἀριστοῦς, | Τιμαγόρου, Τίμωνος, κύριοι ἔστων οἱ ἀντιτυγχάνοντες συλέ|οντες ὡς ἐλευθέρων ὄντων, καθὼς ἐπίστευσαν τῶι θεῶι | τὰν ὠνάν, ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας. εἰ δέ τί κα ‖ πάθωντι Καλλικράτης καὶ Τιμαγόρα, τὰ ὑπάρχοντα ἔστων | Ἀριστοῦς, Πλειστοῦς, Τιμαγόρου, Τίμωνος. μάρτυρες· τοὶ ἱε|ρεῖς Ξένων, Ἄθαμβος, ἰδιῶται Δαμοχάρης Δελφός, Κλέων | Περδίκκα, Εὐκλείδας, Δίων Πλυγονεῖς.

W.-F. Z. 5 nur *δέκα* statt *δεκαέξ*. Verletzte Zeichen nur in Z. 4, 5, 9 und 10, sonst ist alles tadellos erhalten. — Zum Genitiv *ἐλευθέρων ὄντων* Z. 18 vgl. 2049, 13. — Ein *Εὐκλείδας* ist Archont. Ob nur *Κλέων* und *Δίων* Leute aus *Φλυγόνιον* sind? — Zwischen der Z. 23 und der folgenden Nummer ist eine Zeile Zwischenraum.

Zeit. Priesterschaft II: Februar/März 193.

2070 *W.-F.* 405. C. v. B.

Βουλαρχέοντος τοῦ Λοκρικοῦ τέλεος Δαμοτέλεος Φυσ|κέος μηνὸς Ἀγυείου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ξένωνος | τοῦ Ἀτεισίδα μηνὸς Ἡρακλείου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀγή|σανδρος Πύθωνος Ἀμφισσεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι ‖ σῶμα ἀνδρεῖον ὧι ὄνομα Νίκων τὸ γένος Μεγαρέα, τιμᾶς | ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Νίκων τῶι | θεῶι τὰν ὠνάν, ἐφ' ὧιτε αὐτὸν ἐλεύθερον εἶμεν καὶ ἀνέ|φαπτον, ποέοντα ὅ κα θέληι. βεβαιωτὴρ κατὰ τὸν νόμον· | Σωκράτης Εὐάρχου Ἀμφισσεύς. μάρτυρες· ὁ ἱερεὺς Ξέ‖νων, τῶν δὲ ἀρχόντων Ξένων, ἰδιῶται Δαμοχάρης, | Πραξίας, Ἀρχέλας Δελφοί, Ξένων, Θεύτιμος Ἀμφισσεῖς.

Zu Z. 1 vgl. A. Mommsen, Philol. 24, S. 39 Anm. 75. — Erhaltung tadellos; lädiert nur je ein Zeichen in Z. 3, 5, 6 und 9. — Hier h. 4 Leute Ξένων: den ἀρχ. ἐπ. und den Priester können wir durch die Vatersnamen näher bestimmen. — Nach dem Zwischenraume von einer Zeile folgt No. 2071.

Zeit. Priesterschaft II: Mai/Juni 188.

2071 *W.-F.* 406. *Ditt.* 451. C. v. B.

Ἄρχοντος ἐν Δελφοῖς Πραξία μηνὸς Ἀπελλαίου, | Ἄσανδρος Μενάνδρου Βεροιαῖος ἀνατίθησι τῶι | Ἀπόλλωνι τῶι Πυθίωι ἐλευθέραν ἐμ παραθήκηι | Εὐπορίαν τὴν αὑτοῦ παιδίσκην καταβεβληκυῖαν ‖ δραχμὰς Ἀλεξανδρείας διακοσίας. συμ|παραπεμψάτω δὲ Ἄσανδρον εἰς Μακεδονίαν | καὶ ἔστω οὕτως ἐλευθέρα. μάρτυρες· | Μένανδρος Εὐφρονίου, Ἀμύντας Λάτου, | Παράμονος Καλλιστράτου.

W.-F. Z. 4 αὐτοῦ. — Z. 8 St. ΛΑΤΟ`, danach Bruch. Ob mehr wegbrach? Dittenberger Λά(γ)ου. Neben Λᾱ-τιμος lässt sich ein Λᾱ-το-ς wohl rechtfertigen. Vf. St. I 59. — Zu ἀνατίθησι ἐλευθέραν ἐμ παραθήκηι bemerkt Dittenberger: Praeterea ἀνατιθέναι in titulis manumissionum Delphicis non usurpari nisi si gratis servus manumissus esset, monuit E. Curtius (Gött. Nachr. 1864, 139), neque eius rei causa in obscuro est. Hic autem ex additamento ἐμ παραθήκῃ, quod nusquam alibi invenitur, apparet, non deum pretio sibi a servo dedicato eum redemisse, sed post manumissionem demum libertatem Euporiae tutelae dei Delphici commendatam esse. — Diese besondere Form erklärt das Fehlen des Bürgen. — Der Dialekt dieser Urkunde ist fast durchaus der attische. — Unter Z. 9 ist links unbehauener Stein.

Zeit. Priesterschaft III: Juli/August 178.

2072 *W.-F.* 407. C. v. B.

Στραταγέοντος Χαλέπο[υ μη]νὸς Εὐθυαίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ὑβρία μηνὸς Ἀμαλίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Μένα[ρχ]ος Μενάνδρου Πλυγονεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σώματα | δύο οἷς ὀνόματα Ξένων, Πειθόλαος, ἀργυρίου μνᾶν ὀκτώ. βεβαιωτῆρες κατὰ τὸν νόμον καὶ τὰν | συμβολάν· Πολύκλειτος Πεισίλα, Ἁγίων Καλλικράτεος Δελφοί. παραμενόντω δὲ Ξένων καὶ Πειθό‖λαος παρὰ Μέναρχον ἄχρι κα ζώηι Μέναρχος. ἐπεὶ δέ κά τι πάθῃ Μέναρχος, τοῦ θεοῦ ἔστων Ξένων | καὶ Πειθόλαος κυριεύοντες αὐτοσαυτῶν ἐλεύθεροι ὄντες καὶ ἀνέφαπτοι τὸν πάντα χρόνον, | καθὼς ἐπίστευσαν τῶι θεῶι τὰν ὠνάν. βέβαιον δὲ παρεχόντω τὰν ὠνὰν ὅ τε ἀποδόμενος | Μέναρχος καὶ οἱ βεβαιωτῆρες τῶι θεῶι· εἰ δέ κα μὴ παρέχωντι, πράκτιμοι ἐόντω τῶι θεῶι καὶ Ξένωνι | καὶ Πειθολάωι καὶ τῶι ὑπὲρ τὸν θεὸν θέλοντι πράσσειν αὐτοῦ καὶ τοῦ ἡμιολίου μνᾶν δεκαδύο. ‖ οἱ δὲ πράσσοντες ἀζάμιοι ἐόντω καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. εἰ δέ τίς κα ἅπτηται | Ξένωνος ἢ Πειθολάου τελευτάσαντος Μενάρχου, κύριοι ἔστων οἱ συλέοντες ὡς ἐλευθέρους | ὄντας καὶ τοῦ θεοῦ ἀζάμιοι ὄντες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυροι· τοὶ ἱερεῖς | Εὐκλῆς, Ξένων καὶ οἱ προστάται Μαντίας, Αἰακίδας καὶ ὁ νεωκόρος Κλέων Ὀρέστα, Ἄθαμβος, | Ταραντῖνος, Πράοχος, Βαβύλος Λυσιδάμου, Δίων Κλέωνος, Πρώταρχος, Εὐκλείδας, Δαμοχάρης, ‖ Φιλαίτωλος, Βούλων Ξένωνος Δελφοί, Πυθέας, Δαμόξενος, Μείδων, Αἴγιμος Πλυγονεῖς, Νέαρχος | Ποτιναῖος, Εὔτυχος Φαρσάλιος. - - ταῦτα δὲ ἐγένετο ἀνάμεσον τοῦ ναοῦ καὶ τοῦ βωμοῦ. | ὀμοσάτω δὲ Μέναρχος ἐναντίον τῶν ἱερέων τὸν νόμιμον ὅρκον παρὰ τὸν Ἀπόλλω μήτε αὐτὸ-ς | ἀδικησεῖν Ξένιωνα μηδὲ Πειθόλαον ἃς κα ζῇ μηδὲ ἄλλωι ἐπιτρεψεῖν· εἰ δὲ ἢ αὐτὸς ἀδικέοι ἢ ἄλλωι | ἐπιτρέψαι, ἔνοχος ἔστω Μέναρχος τῶι τε ἐφιορκεῖν καὶ παραβαίνειν τὰ συνκείμενα, καὶ ὁμοίως ‖ κύριοι ἐόντω οἵ τε βεβαιωτῆρες καὶ ἄλλος ὁ θέλων ἀποκαθιστάοντες Ξένωνα καὶ Πειθόλαον ἐν τὸ | ἱερὸν ἀζάμιοι καὶ ἀνυπόδικοι ὄντες πάσας δίκας καὶ ζαμίας. τὸν αὐτὸν δὲ ὅρκον ὀμοσάντω Ξένων | καὶ Πειθόλαος Μενάρχωι παραμενεῖν παρὰ Μέναρχον ἔντε κα ζώη μετὰ πάσας εὐνοίας δουλεύοντες | καὶ ποιέοντες τὸ ποτιτασσόμενον. εἰ δέ τί κα ἐπικαλῇ Μέναρχος Ξένωνι ἢ Πειθολάωι ἢ Ξένων ἢ Πει|θόλαος ἀντιλέγωντι ποτὶ Μέναρχον, κριθέντω ἐν τοῖς ἱερέοις τοῦ Ἀπόλλωνος καὶ Κλέωνι Δίω[ν]ος, ‖ καὶ ὅ τι κα οὗτοι κρίνωντι, κύριον ἔστω. εἰ δέ τί κα πάθῃ Κλέων,

ἄλλον ἀνθελέσθω Μέναρχος Δελφὸν | ὅν κα αὐτὸς θέλῃ. ὤμοσαν ποτὶ τῶι βω⟨ι⟩μῶι τᾶι αὐτᾶι ἁμέραι ἔναντι τῶν ἱερέων καὶ τῶμ | μαρτύρων.

W.-F. Z. 1 *Χαλέπου μηνός.* — 2 *Μέναρχος.* — 15 *Μειδίων* statt *Μείδων*, am Ende *Νέαρχος* (ihr *Νέασχος* ist Druckfehler, s. S. 314). — 16 geben sie nach *Φαρσάλιος* —, also einen Querstrich, der die Lücke andeutet, die der Steinmetz absichtlich liess. Es beginnt ein neuer Passus. — 17 *αὐτὸν* statt des erwarteten nom. Zwischen °το und ς ist ein Zeichenplatz unbenutzt geblieben. — 18 *ἀδικήσειν*, ebenso *ἐπιτρέψειν* und *παραμένειν* (Z. 22). — 24 *Δίωνος.* — 25 *εἰ δέ κα,* also *τὶ* weggelassen. — 26 *βωμῶι,* ohne das falsche Jota, darauf *καὶ αὐτᾶι ἁμέραι* statt *τᾶι αὐτᾶι ἁ.* — Z. 27 blieb nach dem einen Worte, das sie bildet, frei, ausserdem noch eine volle Zeile darunter. — Zum Passus in Z. 8/9 vgl. 2006, 8; 2049, 11; 2080, 9; zu *προστάται* Z. 13 vgl. 1920, 15. — Das Ethnikon *Ποταναῖος* steht auch 2058, 7. — Dieselbe Ortsbestimmung wie Z. 16 auch 2010, 13; 2011, 6. — Die Formen *ἐναντίον* und *ἔναντι* (Z. 17 und 26) wechseln mit einander ab; vgl. gortynisch *ἀντὶ μαιτύρōν* (IvG. 86). — Zu Z. 17. Man leistet den Eid, indem man an's Götterbild herantritt, vgl. gortynisch *δικάκσαι τὰν γυναῖκ' ἀπομόσαι τὰν Ἄρτεμιν πὰρ Ἀμυκλαῖον πὰρ τὰν Τοκσίαν.* — Z. 19 beachtenswert *ἐφιορκεῖν* wie *ἐφιορκοῦντι* auf der Mysterieninschrift von Andania (Z. 6); Ditt. 171, 69; 78. — *ἀποκαθιστάοντες* (Z. 20) hat Uebergang in die thematische Flexion; etwas ähnliches bieten Formen wie *τετελευτακούσας* 1855, 13. — Zum Passus Z. 23 ff. vgl. 1694, 9 ff.

Zeit. Priesterschaft I (s. 2049): — 198 vor Chr.

2073 *W.-F.* 408. C. v. B.

Στραταγέοντος Φαινέα μηνὸς Δίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ὀρθαίου μηνὸς Ποιτροπίου, | ἐπὶ τοῖσδε ἀπέδοτο Ἀξίοχος Ὑπαταῖος Στρατυλλὶν τὰν ἰδίαν θεράπαιναν τῶι Ἀπόλλωνι | τῶι Πυθίωι, ἀργυρίου δύο μνᾶν, καθὼς ἐπίστευσε Στρατυλλὶς τῶι θεῶι τὰν ὠνάν, | ἐφ' ὧι αὐτὰν ἐλευθέραν εἶμεν, ποιέουσαν ὅ κα θέλῃ. βεβαιωτῆρες κατὰ τὸν νόμον || καὶ τὰν συμβολάν· Ἀρχέλαος Ἀμφισσεύς, Σώπατρος, Παντέλης Ὑπαταῖοι, Ο⟨ο⟩ἰνόβιος | Καλλισταῖος. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλλωνος Ξένων, Ἄθαμβος καὶ ἰδιῶται Ταραντῖνος, | Ἐμμενίδας, Ὀρέστας, Πολύκλειτος, Νικαγόρας Δελφοί, Μελάνθιος Ὑπαταῖος.

Die Dittographie in Z. 5 suchte der Steinmetz selbst zu tilgen. — Die Z. 7 ist fast bis zu Ende benutzt. In der nächsten Zeile steht Nr. 2074. — Erhaltung tadellos, verletzt ist nur das *τ* in *Παντέλης.*

Zeit. Priesterschaft II: December/Januar 198/197.

2074 *W.-F.* 409. C. v. B.

Στραταγέοντος Φαινέα μηνὸς Εὐθυαίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ὀρθαίου μηνὸς Ἀμαλίου, ἐπὶ τοῖσδε | ἀπέδοτο Τιμόλοχος Βοαῖος τὰς ἰδίας θεραπαίνας αἷς ὀνόματα Σωκρατὶς καὶ τὰν θυγατέρα Σωκρατίδος | Καλλίκλειαν τῶι Ἀπόλλωνι τῶι Πυθίωι, ἀργυρίου μνᾶν πέντε· τὰν τιμὰν ἔχει πᾶσαν· καθὼς ἐπίσ|τευσε Σωκρατὶς καὶ ἁ θυγάτηρ αὐτᾶς Καλλίκλεια τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧι αὐτὰς ἐλευθέρας || εἶμεν, ποιούσας ὅ κα θέλωντι καὶ εἶ κα θέλωντι. βεβαιωτὴρ κατὰ τὸν νόμον | καὶ τὰν συμβολάν· Τιμόλοχος Φειδολάου Βοαῖος. μάρτυροι· τοὶ ἱερεῖς τοῦ Ἀπόλ|λωνος τοῦ Πυθίου Ἄθαμβος, Ξένων καὶ τοὶ ἄρχοντες Πάτρων, Ὀρέστας, Ἐπικράτης, | ἰδιῶται Κλεώνυμος, Ἐκέφυλος Ἁγίωνος, Πρώταρχος Δελφοί. ἁ ὠνὰ παρὰ Ἄθαμβον | Δελφόν, Κλεώνυμον Ἐριναῖον.

Ausser je 3 Zeichen in Z. 1 und 3, je 2 in Z. 2 und 4 ist alles tadellos erhalten und richtig von *W.-F.* wiedergegeben. — Z. 9 bleibt nach den 3 Namen unbenutzt, und zwischen den Nummern 2074 und 2075 ist eine Zeile Zwischenraum. — Z. 2 beachtenswert das Anakoluth. — Ueber *Βοαῖος* Z. 2 und 6 vgl. Ahrens II, 566. — Z. 8 bezieht sich *Δελφοί* nur auf *Ἐκέφυλος* und *Πρώταρχος*; nach *Κλεώνυμος* wäre *Ἐριναῖος* zu erwarten. Vgl. Z. 9.

Zeit. Priesterschaft II: Januar/Februar 197.

2075 *W.-F.* 410. C. v. B.

Στραταγέοντος Δικαιάρχου μηνὸς Πανάμου, ἐν Δελφοῖς δὲ ἄρχοντος Πειθαγόρα μηνὸς Βουκατίου | Πυθίοις, ἐπὶ τοῖσδε ἀπέδοντο Φιλλέας, Πάτρων Οἰνοαῖοι τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον | ὧι ὄνομα Ζωπυρίων τὸ γένος Λάκωνα, τιμᾶς ἀργυρίου μνᾶν πέντε, καθὼς ἐπίστευσε Ζωπυρίων | τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧι αὐτὸν ἐλεύθερον εἶμεν, ποιέοντα ὅ κα θέληι. βεβαιωτῆρες κατὰ τὸν νόμον καὶ τὰν || συμβολάν· Κρινόλαος, Λύκος Οἰνοαῖοι. μάρτυροι· Ξένων, Ἄθαμβος οἱ ἱερεῖς, Καλλείδας, Ἀρχέλαος, Δεξικράτης, | Νικίας Δελφοί, Σέλευκος Πλυγονεύς, Λύκος, Φάλανθος, Πλείσταινος Καλλιπολῖται, Θηβαγόρας | Ἀμφισσεύς.

Ueber *Πυθίοις* Z. 2 vgl. A. Mommsen, Delphika S. 155. — Der Name *Φιλλ-έας* begegnet auch 1813, 3; vgl. 1821 Anm. — Zu Z. 4. *θεῶι* sieht wie ΘΕΩΦ aus: das Jota ist in ein irrtümliches Omikron hineingeschlagen. — In Z. 4 schlug der Steinmetz erst KATON ein, setzte dann aber TA über T. Vgl. 1806, 18; 1960, 5. — Der *Λύκος* in Z. 6 ist wohl der Bürge. — *W.-F.* geben nur 6 Zeilen und lassen Z. 7 *Ἀμφισσεύς* weg. Derselbe Mann ist 1808, 12; 16 Bürge. Diese Zeile 7 ist weiter nicht benutzt; es folgt eine freie vorgezogene Zeilenlinie.

Zeit. Priesterschaft II: August/September 194.

2076 *W.-F.* 411. C. v. B.

Στραταγέοντος τῶν Αἰτωλῶν Θόα Τριχονέος τὸ τρίτον μηνὸς Ἱπποδρομί|ου, ἐν Δελφοῖς δὲ ἄρχοντος Ἀνδρονίκου μηνὸς Ἰλαίου, ἐπὶ τοῖσδε ἀπέδοτο Ἀντιφά|νης Δαμέα Μυανεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἇι ὄνομα Παρθένα, | τιμᾶς ἀργυρίου μνᾶν τεσσάρων, καθὼς ἐπίστευσε Παρθένα τῶι θεῶι τὰν ὠνάν, || ἐφ' ὧιτε ἐλευθέραν εἶμεν αὐτὰν καὶ ἀνέφαπτον ἀπὸ πάντων. βεβαιωτὴρ κατὸν | νόμον καὶ τὰν συμβολάν· Πολύων Σίμωνος Δελφός. μάρτυρε⟨ι⟩ς· τῶν ἀρχόντων | Δαμένης καὶ ὁ προστάτας Δαμοχάρης καὶ ἰδιῶται Ἀνδρόνικος Φρικίδα, Αἰακίδας | Φιλαιτώλου, Χαρίξενος Ἀμυνέα, Ζώπυρος Δελφοί, Καλλίξενος Εὐαρχίδα, Πασέας | Δάμωνος Μυανεῖς.

W.-F. Z. 5 *κα[τὰ] τόν*, Stein KATON, wie sie S. 312 auch anmerken. — Z. 6 scheinbar *μαρτύρεις*, was *W.-F.* in den „Notes" p. 312 geradezu geben; ich halte den Strich für Verletzung des Steines. Möglich auch, dass der Steinmetz an das auf dieses Wort so oft folgende, an *ἱερεῖς* dachte. — Z. 9 ist nicht bis zu Ende benutzt. In der nächsten Zeile steht No. 2077. — Sämtliche Zeichen sind unbeschädigt geblieben.

Zeit. Priesterschaft II: Juni/Juli 180.

2077 *W.-F.* 412. C. v. B.

Στραταγέοντος τῶμ Φωκέων Εὐαινέτου Ἀμβρυσσίου μη|νὸς Ἀμαλίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Μελισσίωνος μηνὸς Δαι|δαφορίου, ἐπὶ τοῖσδε ἀπέδοτο Μέλισσα Λιλαῒς σῶμα γυναικεῖον ἇι ὄνο|μα Ἀριστὼ οἰκογενὲς τῶι Ἀπόλλωνι τῶι Πυθίωι, τιμᾶς ἀργυρί||ου μνᾶν δύο, καθὼς ἐπίσ⟨ι⟩τευσε Ἀριστὼ τῶ θεῶ τὰν ὠνάν, ἐφ' ὧτε | ἐλευθέρα εἶμεν καὶ ἀνέφαπτον οὖσαν ποεῖν ὅ κα θέλῃ. βεβαιωτῆρες κα|τὰ τὸν νόμον καὶ τὸ σύμβολον· Δάμων [Τε]ιθρώνιος, Διογένης Δελφός. | μάρτυροι· οἱ ἱερεῖς Ἄθαμβος, Ἀμύντας, ἰδιῶται Καλλίκων, | Ἵππων, Ἄθαμβος, Καλλίερος Δελφοί, Κᾶφις, Ξενοφῶν || Λιλαεῖς. ἁ ὠνὰ πὰρ Ἀνδρόνικον τῶ θεῶι.

W.-F. merken S. 312 zu Z. 1 an: „L'*Y* de *Εὐαινέτου* a été changé en un *Ψ*"; mir scheint der Stein hier ausgesprungen zu sein. — 5 *ἐπίστευσε*. — 7 *Τειθρώνιος*. — 10 *παρὰ Ἀνδρόνικον* vgl. *πὰρ* 2068, 13 und 14. Oder sollen wir *παρ' Ἀνδρόνικον* schreiben (vgl. 1984, 6)? — 10 Schluss *τῶ θεῶ*. Sieht wie *θεῶι* aus; vielleicht auch nur ein Riss nach *ω*. Die Form *θεῶ* stimmt zu den Dativen in Z. 5; vgl. aber Z. 4. Wegen der Verbindung dieses Dativs mit *ἁ ὠνά* vgl. 1804, 4. — Z. 10 ist nicht bis zu Ende benutzt; es folgt ohne Zwischenraum 2078. *Λιλαεῖς* beginnt

nicht die Zeile, sondern davor steht das Alphabet *α* bis *π*. Der Steinmetz hatte also die wenigen Worte von Z. 10 in die Mitte unter die übrigen Zeilen gesetzt. Ein andrer füllte den freigelassenen Raum zu Anfang mit der genannten Spielerei aus. Vgl. 1753, 11; 1755, 15; 1756, 9; 1775, 9. — Zu Z. 9. *W.-F.* *Κάφις*. Lieber *Κᾶφις*. Stammverwandt ist gewiss der Name *Καφώ* 2064, 2. — Zum Constructionswechsel in Z. 6 vgl. 1697, 5/6; 1824, 4/5.

Zeit. Priesterschaft III: November/December 177.

2078 *W.-F.* 413. C. v. B.

Ἄρχοντος Μελισσίωνος μηνὸς Θευξενίου, ἐπὶ τοῖσδε ἀπέδοτο Κρίτων Κράτωνος τῶι Ἀπόλλωνι | τῶι Πυθίωι σώματα γυναικεῖα τρία αἷς ὀνόματα Σωσίχα, Κλέα, Κρατώ, τιμᾶς ἀργυρίου μνᾶν δέκα, κα|θὼς ἐπίστευσαν τὰν ὠνὰν τῶι θεῶι, ὥστε αὐτὰς εἶμεν ἐλευθέρας καὶ ἀνεφάπτους τὸμ πάν|τα βίον ἀπὸ πάντων, ποιούσας ὅ κα θέλωντι αὐταὶ Σωσίχα, Κλέα, Κρατώ. βεβαιωτῆρες κατὰ ‖ τὸν νόμον τᾶς πόλιος· Ἀρχέλαος Πυθοφάνεος, Ὀρθαῖος Ἀτεισίδα. μάρτυρες· οἱ ἱερεῖς Ἄθαμβος, Ἀμύντας | καὶ τοὶ ἄρχοντες Πραξίας, Ἀνδρόνικος, Ἀριστίων καὶ ἰδιῶται Δαμοσθένης, Ἧρυς, Καλλίκων.

Z. 2 beginnt mit *τῶι*, *W.-F.* irrtümlich Z. 1/2 *Ἀπόλλωνι* [*τῶι*] | *Πυθίωι*. — 3 *τόν* statt *τόμ*. — 6 *Καλλίων* verlesen. Erst schlug der Steinmetz °ΛΚΩΝ ein, und dann drängte er noch Jota dazwischen. — Sämtliche Zeichen sind gut erhalten, ausgenommen das *ς* in *ἀνεφάπτους*. — Nach Z. 6 folgt ohne Zwischenraum No. 2079.

Zeit. Priesterschaft III: März/April 176.

2079 *W.-F.* 414. C. v. B.

Ἄρχοντος Μελισσίωνος μηνὸς Βυσίου, ἀπέδοτο Μυρτὶς Ἵππωνος Δελφὶς τῶι Ἀπόλ(λ)ωνι τῶι Πυθίωι σῶμα | γυναικεῖον ἇι ὄνομα Θευδότα, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Θευδότα τὰν ὠνὰν | τῶι θεῶι. παραμεινάτω δὲ Θευδότα παρὰ Μυρτίδα ἀνεγκλήτως ἕως κα αὐτὰ ζώη. βεβαιωτὴρ· | Ἀριστείδας Ἵππωνος Δελφός· παρόντος καὶ τοῦ ἄρχοντος Πραξία. μάρτυρες· ὁ ἱερεὺς Ἄθαμβος· Καλλίκων, ‖ Ἀρισταγόρας, Κρίτων, Ἧρυς, Καλλικράτης.

W.-F. Z. 1 *Ἀπόλλωνι*, Stein °ΟΛΩ°, s. 1761, 4. Die Zeichen stehen übrigens in einer ausgeschlagenen Steinstelle. — Bei *W.-F.* fehlen die Anfänge von Z. 3 und 4. Diese stehen auf dem links anstossenden Steine, so für 3 *τῶι θε* (*W.-F.* |[*τῶι θε*]*ῶι*) und für 4 *Ἀριστείδ* (*W.-F.* |[.....]*ας*). Letzterer ist wohl der Bruder der Freilasserin. — 3 Man kann zwischen *παραμεινάτω* und *παραμεινάτω⟨ι⟩* schwanken. Ob nach °*τω* Hasta oder Riss an-

zuerkennen ist, lässt sich nicht sagen. — 4 Zum Zusatz *παρόντος κτλ.* vgl. 1970, 5; 2009, 11. — 4 Ende *W.-F.* *Καλλίκω[ν]*, aber *ν*, das der Steinmetz nicht mehr in horizontaler Linie hinbrachte, schlug er über Ω ein. Mit diesem Namen beginnen die Privatzeugen. — Nach Z. 5, die nicht bis zu Ende ausgenutzt wird, ist ein kleiner behauener, aber unbenutzter Raum.

Zeit. Priesterschaft III: Februar/März 176.

2080 *W.-F.* 415. C. v. B.

Ἄρχοντος Ὀρθαίου τοῦ Μαντία μηνὸς Βυσίου, βουλευόντων | Κλεοδάμου, Λύσωνος, γραμματεύοντος Παρνασσίου, [ἐπὶ] τοῖσδε | ἀπέδοτο Ἐράτιον Ἡρακλείδα Δελφὶς Σωτὼ Δόρκωνο[ς τῶι] Ἀπόλλωνι | τῶι Πυθίωι, ἀργυρίου μνᾶν τριῶν, καὶ τὰν τιμὰν ἔχει πᾶσ[αν, κ]αθὼς ‖ ἐπίστευσε Σωτὼ τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧι αὐτὰν ἐλευθέραν [εἶ]μεν, | ποιέουσαν ὅ κα θέληι. βεβαιωτῆρες κατὰ τὸν νόμον· Ἀρίστων Πρα[ό]χου, | Δάμων Ἀνδρομένεος Δελφός. βέβαιον δὲ παρεχόντων τὰν ὠν[ὰν] | ἅ τε ἀποδομένα Ἐράτιον καὶ οἱ βεβαιωτῆρες· εἰ δὲ μὴ παρέχωντι, | πράκτιμοι ἔστων αὐτῶν καὶ τῶν ἡμιολίων. μάρτυροι· Ὀρθαῖος, Ἁγίων, ‖ Λύσων, Πολύκλειτος, Γλαῦκος Δελφοί. ἁ ὠνὰ παρὰ τοὺς ἄρχοντας | Κλεόδαμον, Λύσωνα.

Ueber die Lage des Polygonalblockes vgl. Pomtow, Beitr. 99.

Zu Z. 1 bemerken *W.-F.* S. 312: Dans la partie supérieure de cette inscription, à gauche (vielmehr à droite!), la fin des lignes manque. Elle était sans doute gravée sur la pierre voisine, qui a disparu. Sie stehen ja aber auf dem anstossenden Blocke. *W.-F.* Z. 1 *βουλευ[όντων ....]*|; nach dem Particip fehlt, wie der Zusammenhang zeigen musste, nichts. — 2 *Παρνασσίου ....* |. — 3 *Δόρκωνο[ς ....]*|. — 4 *πᾶσ[αν, καθὼς]*|. — 5 *ἐλευθέραν [εἶμεν]*|. — 6 *Πρα[...]*|. — Zum Passus in Z. 9 *πράκτιμοι κτλ.* vgl. 2006, 8; 2049, 11; 2072, 9. In den Parallelen steht der Singular: *αὐτοῦ καὶ τοῦ ἡμιολίου*, und das Ergebnis der Addition ist immer erklärender Zusatz. — Unter den Zeugen wird ein *Λύσων* genannt. Es ist wohl der Archont (vgl. Z. 2). In dem ersten haben wir wohl den *ἀρχ. ἐπων.* zu suchen (vgl. 2045, 5).

Zeit. Priesterschaft II: Februar/März 195.

2081 *W.-F.* 416. C. v. B.

Στραταγέοντος Ἀλεξάνδρου Καλυδωνίου τὸ δεύτερον | μηνὸς Πανάμου, ἐν δὲ Δελφοῖς ἄρχοντος Διοδώρου μηνὸς Βου|κατίου, ἀπέδοτο Δάμων Ἀμφισσεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι | σῶμα γυναικεῖον ἇι ὄνομα Σωκρίτα, ἀργυρίου μνᾶν πέντε, ‖ καθὼς ἐπίστευσε Σωκρίτα τῶι θεῶι τὰν ὠνάν, ἐφ᾽ ὧι αὐτὰν ἐλευ|θέραν εἶμεν, ποέουσαν ὅ κα θέλη. βεβαιωτῆρες ἐπὶ τούτοις κατὰ τὸν | νόμον καὶ τὰν συμβολάν· Δαμόξενος Δάμωνος,

Εὔδικος, Κλέανδρος | Χαριξένου Ἀμφισσεῖς. μάρτυροι· ὁ ἱερεὺς Ἄθαμβος καὶ ἰδιῶται Πεισίστρατος, Ἀμεινίας, | Ἀριστόμαχος, Εὐρύμαχος, Μένων, Εὐκλείδας, Νικαγόρας Δελφοί, Μενακλῆς, Καλλιφά||νης, Παυσανίας, Θεαγένης, Εὐαίνετος Ἀμφισσεῖς, Ἀλέξων, Πολέμαρχος Πλυ|γονεῖς.

In Z. 1 schlug der Steinmetz ΣΤΡΑΑΓ° ein und trug das vergessene Τ unter dem 2. Α nach. Das erste Α ist jetzt lädiert. — *W.-F.* Z. 2 *ἐν Δελφοῖς δὲ ἄρχοντος.* — Den Zusatz *ἐπὶ τούτοις* (Z. 6) liest man auch 1994, 5. — Von Z. 8 ab wendete der Steinmetz kleinere, engere Zeichen an. — 9 steht wirklich *Μενακλῆς* mit *α.* Ueber solche Beispiele vgl. Vf. Stud. I, 62. — Nach |*γονεῖς* in Z. 11 blieb der Raum frei, dann ebenso noch eine volle Zeile. — Unter den Zeugen ist ein *Μένων,* vielleicht der Archont.

Zeit. Priesterschaft II: August/September 195.

2082 *W.-F.* 417. C. v. B.

Στραταγέοντος Θόα τὸ δεύτερον μηνὸς Ἀθαναίου, ἐν Δελφοῖς δὲ ἄρχοντος Πειθαγόρα | μηνὸς Ἡραίου, ἀπέδοτο Σωτίων Ἀμφισσεὺς τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον ἆι ὄνομα Ἡδεῖα τὸ γένος Μακέταν ἐξ Ὠρωποῦ, τιμᾶς ἀργυρίου στατήρων ἐνενήκοντα | τριῶν ἐννέ' ὀβολῶν. βεβαιωτὴ[ρ κ]ατὰ τὸν νόμον· Λαμπρίας Ἀλεξομενοῦ Ἀμφισσεύς. παραμει||νάτω δὲ Ἡδεῖα παρὰ Σωτίωνα ἕως κα ζῆι Σωτίων. ἐπεὶ δέ κα δι[α]λίπηι Σωτίων, ἱερὰ ἔστω | Ἡδεῖα τοῦ Ἀπόλλωνος καὶ ἀνέφαπτος· εἰ δὲ μή, ὁ παρατυχὼν κύριος ἔστω ἀφαιρείμενος | ὡς ἱερὰν οὖσαν Ἡδεῖαν. μάρτυρες· Βαβύλος· Σώτιμος, Ἀριστόμαχος, Διόδωρ[ο]ς, | Μένων.

W.-F. Z. 4 *βεβαιωτὴρ κατὰ,* dann *Λάμπρας* statt *Λαμπρίας.* — 5 *διαλίπηι*; dieselbe Phrase übrigens 1920, 9. — 7 *Διόδωρος.* — *Μακέταν,* auch 1872, 3; 1925, 2; 1940, 7 femin., sonst *Μακέτις.* — Merkwürdig die Stellung der Zahlen in Z. 3/4. — Zu *ἀφαιρείμενος* vgl. *καλειμένας* 2061, 9. — Der erste Zeuge ist Archont. — Zu Z. 8. Nach dem einen Namen ist die Zeile freigelassen, und es folgen noch zwei freie Zeilen.

Zeit. Priesterschaft II: October/November 194.

2083 *W.-F.* 418. C. v. B.

Ἄρχοντος Νικοβούλου μηνὸς Βυσίου, ἐπὶ τοῖσδε ἀπέδοτο ⟨το⟩ Ἀγησίας | Πολυτίμου Ἀμβρύσσιος τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον ὧι ὄνομα | Κάρπος, τιμᾶς ἀργυρίου μνᾶν τριῶν, καθὼς ἐπίστευσε Κάρπος τῶι θεῶι | τὰν ὠνάν, ἐφ' ὧιτε ἐλεύθερος εἶμεν καὶ ἀνέφαπτος ἀπὸ πάντων || τὸμ

πάντα βίον, ποέων ὅ κα θέλῃ καὶ ἀποτρέχων οἷς κα θέλῃ. | βεβαιωτὴρ κατὰ τὸν ⟨μ⟩νόμον· Κ[λ]εόδαμος Κλέωνος | Δελφός. εἰ δέ τίς κα ἅπτηται Κάρπ[ου, β]έβαιον παρεχόντω | τῶι θεῶι τὰν ὠνὰν ὅ τε ἀποδόμενος [᾽Α]γη̣[σ]ί̣α̣ς καὶ ὁ βεβαιω|τὴρ Κλεόδαμος· εἰ δέ κα μὴ παρέχωντι, πράκτιμοι ἐόντω ‖ κατὰ τὸν νόμον. ὁμοίως δὲ κ[α]ὶ οἱ παρατυγχάνοντες | κύριοι ἐόντων συλέοντες ὡς ἐλεύθερον ὄντα ἀζάμιοι | ὄ[ν]τες καὶ ἀνυπόδικοι πάσας δίκας καὶ ζαμίας. μάρτυ|[ρ]ες· τοὶ ἱερεῖς Ξένων, Ἄθαμβος καὶ τοὶ ἄρχοντες Εὐκρά|της, Δάμων, ἰδιῶται Νικόβουλος Λυσαγόρα, Ἀρχέλαος ‖ Πυθοφάνεος, Εὐχαρίδας Φαίνιος, Μαντίας Πολύωνος.

W.-F. Z. 1 *ἀπέδοτο*, ohne Angabe der Dittographie. — 6 *κατὰ τὸν νόμον*. Der Steinmetz wollte nach *τόν* gleich *μον* einschlagen, corrigierte sich aber nach dem ersten falschen Zeichen. Oder ob Selbstcorrectur des Steinmetzen, also *τό⟨ν⟩μ νόμον*? — 8 *τὰν ὠνάν*. Das *α* von *τάν* ist auf ein halbes Ω darauf gesetzt, also wollte der Steinmetz statt *τάν* vermutlich nochmals den Anfang der Zeile, *τῶι*, einschlagen. — 8 Mitte *[᾽Αγησ]ί[α]ς*, es ist aber davon mehr zu sehen. — 10 *κ[αὶ] οἱ*. — 12 *ὄντες*. — 12/13 *μάρτυ|ρες*.

Zeit. Priesterschaft II: Februar/März 185.

Wie Pomtow's instruktive Inschriftentafel der Polygonalmauer, auf die S. 184 schon verwiesen wurde, veranschaulicht, stehen die bisher unter Nr. 1684—2083 (= *W.-F.* 19—418) mitgeteilten Freilassungsurkunden ungefähr der Reihe nach auf Strecke CD, und zwar von West nach Ost gerechnet. Dagegen haben die von *W.-F.* mit 419—450 bezeichneten Nummern, deren Reihenfolge ich aus praktischen Gründen gleichfalls beibehalten habe (= 2084—2115), verschiedenen Standplatz gehabt:

a. Zu Strecke CD gehören noch Nr. 2084, 2085, 2102—2106.

b. Zu Strecke BC gehören Nr. 2086—2101, wohl auch 2107—2109; 2113 und 2114.

c. Ueberhaupt nicht zur Mauer gehören 2110—2112 und 2115.

Am Fusse jeder Nummer wird der besondere Standplatz nach Pomtows Plane angemerkt werden. Unediert liessen *W.-F.* auf Strecke CD im ganzen 24 Inschriften, die Pomtow bezeichnet mit: 100a (s. 1765 A); 166a; 229a; 239a und b; 273a und b; 275a und b; 278a und b; 281a, b, c, d, e; 297a und b; 308a; 310a und b; 332a; 439a; 441a.

2084 *W.-F.* 419. Nach einem Abklatsche controliert v. B.

Ἀγαθᾶι τύχαι. | ἄρχοντος Εὐκράτεος μηνὸς Ἰλαίου, τάδε διέθετο | Νίκων ὑπὲρ Δωρήματος, συνευδοκεούσας τᾶς θυγα|τέρος Καλλιβούλας. εἰ μέν κα ἐπιβιώσῃ Νίκων ἔτη ‖ ὀκτὼ ἢ πλείονα, παραμείνασαν, εἴ τί κα πάθηι Νίκων, | ἐλευθέραν εἶμεν Δώρημα· εἰ δέ τί κα πρότερον πάθη[ι] | Νίκων πρὸ τοῦ τὰ ὀκτὼ ἔτη διελθεῖν, κατενέγκαι Δώ|ρημα Καλλιβούλαι τοῦ καταλειπομένου χρόνου ἐν τ[ὰ] | ὀκτὼ ἔτη τοῦ ἐνιαυτοῦ ἑκάστου ἀργυρίου ἡμιμναῖον, ‖ οἰκέουσαν ἔξω καὶ κυριεύουσαν αὐτοσαυτᾶς· ἄρξει | τῶν ὀκτὼ ἐτέων μὴν Ἰλαῖος ὁ ἐπὶ Εὐκράτεος ἄρχοντος. | ἐπὶ τούτοις ἔδωκε Νίκων τὰν ὠνὰν Δωρήματος τῶι | Ἀπόλλωνι τῶι Πυθίωι. βεβαιωτὴρ τούτων ἐπιτελεσ|θέντων· Ἀρχέλαος Θηβαγόρα Δελφός. μάρτυρες· ‖ ὁ ἱερε⟨ρε⟩ὺς Ἄθαμβος καὶ τῶν ἀρχόντων Σωδαμί|δας, Κράτων, ἰδιῶται Μένων, Σωτύλος, Ἀγάθων, | Εὐκλῆς, Ἄνδρων. ἁ ὠνὰ παρὰ Ἄθαμβον τὸν ἱερῆ.

Diese Nummer steht zwischen 1959 und 1961. Unter der letzten Zeile von 1959 stehen über die ganze Zeilenlänge (0,40) in Spatien von 0,02—0,035 hinweg, Z. 1 von 2084 bildend, die Zeichen der 2 Worte: *ἀγαθᾶι τύχαι.* Vgl. 1816, 1.

Auf dem Abklatsche erkenne ich Z. 6 Ende nicht Jota, Z. 8 nicht Alpha. — Z. 15 *ὁ ἱερεύς*, ohne Angabe der Dittographie. — Sonst ist alles tadellos erhalten und correct von *W.-F.* wiedergegeben. Der Abklatsch prägt fast jedes Zeichen völlig aus. — Die Fassung des ganzen Formulars weicht ab von dem sonst üblichen und hat in den Nummern von 1684 bis hierher keine Analogien. — Vgl. das Namenpaar *Νίκων* — *Δώρημα* in 1803. — *Δώρημα* hat *παραμονά* zu leisten, so lange *Νίκων* lebt. Das Mindeste sind 8 Jahre. Stirbt *Νίκων* vor Ablauf der 8 Jahre, so ist *Δώρημα* an seine Tochter zahlungspflichtig. *W.-F.* interpungieren Z. 5 *ἢ πλείονα παραμείνασαν, εἴ κτλ.* Aber *παραμείνασαν* gehört in den acc. c. inf. „Wenn N. noch 8 Jahr oder mehr lebt und sie bei ihm geblieben ist und er dann stirbt", so etc. — Der Infinitiv als Imperativ ist im Formular selten, 1837, 6. — Zur Form *κατενέγκαι* Z. 7 vgl. 1804; 1909. — Zu *ἐπὶ τούτοις* Z. 12 vgl. 1994, 5; 6; 2081, 6.

Zeit. Priesterschaft II: Juni/Juli 184.

2085 *W.-F.* 420. C. v. B.

Ἄρχοντος Ἀρχελάου τοῦ Δαμοσθένεος μηνὸς Ποιτροπίου, ἐπὶ τοῖσδε ἀπέδοτο Φίλων Τελεσάρχου τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα γυναικεῖον | ἇι ὄνομα Ἱστιώ, τιμᾶς ἀργυρίου μνᾶν δύο. βεβαιωτὴρ κατὰ τὸν νόμον· Δρομοκλείδας Ἁγ⟨ί⟩ωνος Δελφός. παραμεινάτω δὲ Ἱστιὼ παρὰ Φίλωνα μέχρι κα ζώῃ Φίλων | ποέουσα πᾶν τὸ ποτιτασσόμενον τὸ δυνατόν· εἰ δέ

κα μὴ ποιῇ Ἑστιὼ ἢ μὴ παραμείνῃ, ἐξέστω Φίλωνι ὅ κα θέλη ποε(ῖ)ν. εἰ δέ τί κα πάθη Φίλων, ἐλευθέρα ἔστω | Ἱστιὼ καὶ ἀνέφαπτος οὖσα ἀπὸ πάντων, κυριεύουσα αὐσωτᾶς, καθὼς ἐπίστευσε τῶι θεῶι τὰν ὠνάν. μὴ ἐξέστω δὲ Ἑστιὼ ἀλλαχᾶι κατοικε(ῖ)ν, ἀλλ' ἢ ἐν Δελφο[ῖ]ς. || στεφανούτω δὲ κατὰ μῆνα νουμηνίαι καὶ ἑβδόμα τὴν Φίλωνος εἰκόνα δαφνίνωι στεφάνωι πλεκτῶι. μάρτυρες· τοὶ ἱ(ε)ρεῖς Ἄθανβος, Ἀμύντας καὶ οἱ ἄρχον|τες Βούλων, Μελισσίων, Ξένων, ἰδιῶται Μαντίας Κλεοδ[ά]μου, Ξενέας Βαβύλου, Καλλίερος Δελφοί.

Zwischen den Nummern 1866 und 1867 steht diese Freilassung. Sie ist identisch mit 1807, vgl. daselbst die Anmerkung. Wörtlich stimmen die beiden Nummern in folgenden 2 Stücken überein: 1) 1807, 1—9 = 2085, 1—3, bis zu ἐξέστω Φίλωνι, 2) 1807, 19 (στεφανούτω κτλ.) — 23 = 2085, 5 und 6. Die Phraseologie ist annähernd dieselbe in 1807, 10—14 = 2085, 3/4. 1807, 15—19 fehlt dagegen ganz in 2085, 2085 wiederum hat die Bestimmung μὴ ἐξέστω — Δελφοῖς (Z. 4 Ende) allein.

W.-F. Z. 1 γυνα[ι]κε[ῖ]ον, jedoch beide Jota sind sichtbar. Das erste vergass der Steinmetz anfänglich, setzte es aber dann über die Zeile zwischen A und K. — 2 Ἁγ[ί]ωνος. — 2 Ende. Das Jota von μέχρι ist nachgetragen. — 3 Anfang ποιέουσα, dann ποε[ῖ]ν. Der Stein hat beide Male in der ersten Silbe kein Jota, der dazwischen stehende Conjunktiv ποιῇ hat es. — 3 [Ἱ]στιώ, Stein Ἑστιώ. Es wechseln also die dialektische und die Κοινή-Form in demselben Dekrete, vgl. auch den Artikel τήν in Z. 5. Aehnlich wechselt Δαματρία und Δημητρία in 1748; 1849. — 3 Ende Φίλων. Auch hier ist Jota nachgetragen. — 3/4. Man kann schwanken zwischen ἐλευθέρα ἔστω Ἱστιὼ καὶ ἀνέφαπτος ⟨οὖσα⟩ ἀ. π. oder ἐ. ἔστω Ἱστιὼ ⟨καὶ⟩ ἀ. οὖσα ἀ. π. — 4 αὐσαυτᾶς, dann δὲ Ἱστιὼ ἀλλαχᾶ κατοικε[ῖ]ν ἀλλ' ἢ ἐν Δελ[φοῖς]|. Der Stein hat aber αὐσωτᾶς, Ἑστιώ (st. dat.), ἀλλαχᾶι. Im Infinitiv fehlt wieder Jota (°OIKEN). Zur Phrase vgl. 1830, 23. — Zur Bestimmung von Z. 5 vgl. 1801, 5/6; 1775, 21. — 5 ἑβδόμαι, Stein nur °μα wie 1807, 20; dann δαφνίνῳ στεφάνῳ πλεκτῷ, hier hat der Stein dreimal Jota προσγεγρ. — 5 τοὶ ἱ[ε]ρεῖς, vgl. 1865, 6 (s. Anm.); 1866, 5. — 6 Κλε[νδά]μου.

Zeit. Priesterschaft III: December/Januar 175/174.

2086 *W.-F.* 421.

Ἄρχοντος Πυῤῥία μηνὸς Βυσίου, βουλευόντων | τὰν δευτέραν ἑξάμηνον Πολέμωνος τοῦ Πολε|μά(ρ)χου, Κλέωνος τοῦ Δαμοσθένεος, γραμματεύον|τος δὲ Γλαύκου τοῦ Γενναίου, ἐπὶ τοῖσδε ἀπέδοτο || Ξενοχάρης Πολυξένου, συνευδοκεόντων καὶ τῶν υἱῶν αὐτοῦ Πολυξένου καὶ Ἀρίστωνος, | τῶι Ἀπόλλωνι τῶι Πυθίωι σῶμα ἀνδρεῖον παιδάριον ὧι ὄνομα Σωσι[κλῆ]ς, τιμᾶς ἀργυρίου μνᾶν δύο | στατήρ[ων] ἑπ[τὰ] δραχμᾶς, ἐφ' ὧιτε ἐλεύθερον εἶμεν καὶ ἀνέφαπτον ἀπὸ πάντων τὸν πάντα χρόνον, ποι|[έοντα

ὅ κα θέλῃ] καὶ ἀποτρέχοντα οἷς κα θέλῃ. βεβαιωτὴρ κατὰ τὸν νόμον [τᾶς] πόλι]ος· [Ἀ]ρίστων Στράτωνος. | [εἰ δέ τις ἐφάπτ]οιτο Σωσικλέος ἐπὶ καταδουλισμῶι, κύριος ἔστω ὁ παρατυχὼν συλέων Σωσικλῆ ὡς λύτρα ‖ [. . . . .]τος ἐκ πολεμίων ἀζάμιος ἐὼν καὶ ἀνυπόδικος πάσας [δίκας καὶ ζαμίας, καὶ ὁ] βεβαιωτὴ[ρ] | καὶ οἱ ἀποδόμενοι βέβαιον παρεχόντων τὰν ὠνὰν τῶι θεῶι. μάρτυροι· ὁ ἱερεὺς τοῦ [Ἀπόλλωνος] Πατρέας· Μικκύλος.

Die Inschrift steht auf Strecke BC mit 2087—2095 zusammen über den Nummern (75)—(80); mit ( ) bezeichnet Pomtow unedierte.

Unter den von *W.-F.* angemerkten Lücken machen drei Schwierigkeiten. Z. 8 haben sie, was ich beibehalten musste, [τᾶς] πόλι]ος; hier fehlt eine Klammer. — Im Anfange von Z. 10 geben sie 11 Punkte. Der Sinn verlangt ein Particip: „Der doch sein Lösegeld aus der Beute bezahlt hat, etwa ἀποτ(ε)ίσαντος, κατενένκαντος (s. 1909, 11). Ein derartiger Zusatz ist sonst nicht üblich, hier aber besonders erklärlich, weil im Vorhergehenden die Quittungsformel καὶ τὰν τιμὰν ἔχει fehlt. Der absolute Genitiv neben unmittelbar vorhergehendem Accusativ Σωσικλῆ ist vielleicht ein Analogon zu ἐλευθέρας οὔσας (1918, 12; 1979, 14; 2006, 11; 2010, 11) — s. die Bemerkung zu 2006 und 2049, 13 —, wenn diese Genitive nicht mit dem dort vorhergehenden ἀντιτυγχάνοντες in Beziehung gebracht werden dürfen. Der Zusatz ἐκ πολεμίων erinnert an „ἀπὸ τῶν πολεμίων" andrer Inschriften (Ditt. 30, 2 s. Anm. dazu). Da Σωσικλῆς ein σῶμα ἀνδρεῖον παιδάριον genannt wird, so wird man anzunehmen haben, dass der Begriff von παιδάριον ein weiterer geworden war; denkbar wäre freilich auch, dass ein anderer (vielleicht ein Verwandter) ihm das Geld zum Freikauf gegegeben hätte. — Nach ὁ ἱερεὺς τοῦ [Ἀπόλλωνος Z. 11 geben *W.-F.* 9 Punkte. Nun hat Pomtow Beitr. 5 in der Anmerkung 2 zu Seite 4 notiert, dass er hier Πατρέας las. Das sind nur 7 Zeichen. Ob noch ein καὶ danach stand, das den Priesternamen mit dem des Privatzeugen verband? Für den Genitiv Ἀνδρονίκου (z. B. 1859, 7; 1895, 7) ist kein Platz. — Unsere Nummer gehört zu Priesterschaft X, aus der vorhergehenden ist 1693. Ob der Πυρρίας Ἀρχελάου Δελφός 1693, 4 derselbe ist wie der Archont in Z. 1 oben, und ob der Μικκύλος Εὐδόκου 1693, 13 derselbe wie Z. 11 der Privatzeuge? — An die Form Πολε|μάχου Z. 2/3, die *W.-F.* geben, will ich nicht recht glauben. Ich halte den Archont Πολέμων für den Sohn von Πολέμαρχος Πολέμωνος (1710, 15; 1711, 12).

Zeit. Priesterschaft X (in der Zeit von 140—100).

2087 *W.-F.* 422.

Στραταγέοντος τῶν Αἰτωλῶν Δοριμάχου | Τριχονέος μηνὸς Ἑρμαίου, ἐν Δελφοῖς δὲ ἄρ|χοντος Σωξένου μηνὸς Θευξενίου, ἐπὶ τοῖσδε | ἀπέδοτο Εὐβουλίδας Μηνίου Φαλικαῖος τῶι

